la. Delphinus. Proto-
me hippi, hoc eſt prior
equi portio, iuxta Hip
parchũ equus. Cephe-
us. Caſiepeia. Andro-
meda. Perſeus. Auriga.
Deltoton. et qui poſtea
à Callimacho in aſtra
relat⁹ eſt, Berenices cri
nis. In ijs rurſus ſtellæ
quædã, ob notas quaſ-
dam integras, quas in
ſe cõtinẽt, proprias ap-
pellatiões ſunt ſortitæ.
Nam*

ὁ μὲν γὰρ ἀνὰ μέσον τῶν σκελῶν τοῦ ἀρκτοφύλακος κείμενος ἐπίσημος ἀστὴρ, ἀρκτοῦρος ὀνομάζεται. ὁ δὲ παρὰ τὴν λύραν κείμενος λαμπρὸς ἀστὴρ, ὁμωνύμως ὅλῳ τῷ ζωδίῳ λύρα προσαγορεύεται. οἱ δὲ ἐν ἀριστερᾷ ἄκρᾳ χειρὶ τοῦ περσέως κείμενοι ἀστέρες, γοργόνιοι καλοῦνται. οἱ δὲ ἐν ἄκρᾳ τῇ δεξιᾷ χειρὶ τοῦ περσέως κείμενοι ἀστερίσκοι πυκνοὶ καὶ μικροὶ, εἰς τὴν ἅρπην καταστερίζονται. ὁ δὲ ἐν τῷ εὐωνύμῳ ὤμῳ τοῦ ἡνιόχου κείμενος λαμπρὸς ἀστὴρ, αἲξ προσαγορεύεται. οἱ δὲ ἐν ἄκρᾳ τῇ αὐτῇ χειρὶ ἀστερίσκοι β, ἔριφοι καλοῦνται. νότια δὲ ὅσα

ὅσα

Nā inſigne ſidus, quod ſupra media Arctophylacis crura iacet, Arcturus appellatur. Clara autem ſtella, quæ iuxta Lyrā poſita eſt, totius ſigni nomine Lyra dicitur. Quæ uero in Perſei ſumma ſiniſtra ſpectātur, Gorgoneæ nomē habēt. Sed quæ in ſumma eius dextra notātur, ſtellulæ certè crebræ paruæq;, falcē conficiūt. At illuſtre ſidus, quod ī aurigæ ſiniſtro humero cernimus, Caprā nominamꝰ. Duas uero exiguas ſtellas quæ in ſumma eiuſdem aurigæ manu figungūtur, Hœdos dicimus. Auſtrina ſigna ſunt,

 quæcunq;

ὅσα τοῦ τῶν ζωδίων κύκλου πρὸς μεσημβρίαν κεῖται. ἔστι δὲ τάδε· ὠρίων. προκύων. λαγωός. ἀργώ. ὕδρος. κρατήρ. κόραξ. κένταυρος. θηρίον, ὃ κρατεῖ ὁ κένταυρος. θυρσολόγχος, ὃν κρατεῖ ὁ κένταυρος. θυμιατήριον. νότιος ἰχθῦς. κῆτος. ὕδωρ, τὸ ἀπὸ τοῦ ὑδροχόου. ποταμὸς ὁ τοῦ ὠρίωνος. νότιος στέφανος, ὑπό τινων δὲ οὐρανίσκος προσαγορευόμενος, κηρύκιον καθ᾽ ἵππαρχον. πάλιν δὲ καὶ ἐν τούτοις τινὲς ἀστέρες ἰδίας ἔχουσι προσηγορίας. ὁ μὲν γὰρ ἐν τῷ προκύωνι ὢν λαμπρὸς ἀστήρ,

quæcũq; ad meridionalẽ ſigniferi partẽ ſunt poſita. Eorum nomina hæc ſunt· Orion. Procyon. Lepus. Argo. Hydra. Cratera. Coruus. Cẽtaurus. Fera, quã cẽtaurus tenet. Thyrſolochus quẽ cẽtaurus præfert. Thuribulũ. Auſtrinus piſcis. Cetus. Aqua quæ ab aquario funditur. Flumen quod ab Orione defluit. Auſtralis corona, quã nõnulli uraniſcũ uocauere, ac ſi à cœlo diminutiuum declines: & iuxta Hipparchũ caduceus. In ijs quoq; ſtellæ quædam propria ſibi nomina uẽdicauere: quippe lucida ſtella quæ in Procyone cernitur,

ἀστὴρ, προκύων καλεῖται. ὁ δὲ ἐν τῷ στόματι τοῦ κυνὸς λαμπρὸς ἀστὴρ, ὃς δοκεῖ τὴν ἐπίτασιν τῶν καυμάτων ποιεῖν, ὁμωνύμως ὅλῳ τῷ ζωδίῳ, κύων προσαγορεύεται. ὁ δὲ ἐν ἄκρῳ τῷ πηδαλίῳ τῆς ἀργοῦς κείμενος λαμπρὸς ἀστὴρ, κάνωβος ὀνομάζεται. οὗτος δὲ ἐν ῥόδῳ μόλις θεώρητός ἐστιν, ἢ παντελῶς ἀφ᾽ ὑψηλῶν τόπων ὁρατός. ἐν ἀλεξανδρείᾳ δὲ ἐστὶ παντελῶς ἀφανής. σχεδὸν γὰρ τὸ τέταρτον μέρος ζωδίου ὑπὲρ τοῦ ὁρίζοντος μετεωρισμένος φαίνεται.

Τέλος τῆς τοῦ Πρόκλου σφαίρας.

cernitur, Procyon appellatur. Quæ uerò in ore canis conſpicuo ſplendore aſpicitur, quodq; æſtus incrementa ſecum afferre putatur, canis eodem, quo totum ſignum, nomine cẽſetur. At ſidus quod in ſummo Argus gubernaculo fulget, Canobus nominatur. Hic in Rhodo ægrè conſpicitur, aut certè ab editis locis. In Alexandria uerò prorſus non cernitur: utpote uix quarta ſigni portione ſupra horizontem extante.

Finis Procli ſphæræ.

ΚΛΕΟΜΗΔΟΥΣ
κυκλικῆς θεωρίας μετεώρων βιβλίον α.

Τοῦ κόσμου πολλαχῶς λεγομένου, ὁ νῦν ἡμῖν λόγος ἐνεστηκὼς, περὶ τοῦ κατὰ τὴν διακόσμησίν ἐστιν. ὃν ὁρίζονται οὕτω· Κόσμος ἐστὶ σύστημα ἐξ οὐρανοῦ καὶ γῆς, καὶ τῶν ἐν τούτῳ φύσεων. οὗτος δὲ πάντα μὲν τὰ σώματ' ἐμπεριέχει, οὐδενὸς ἁπλῶς ἐκτὸς αὐτοῦ ὑπάρχοντος, ὡς ἐν ἑτέροις δείκνυται. οὐ μὴν ἄπειρός γε, ἀλλὰ πεπερασμένος ἐστίν. ὡς τοῦτο δῆλον ἐκ τοῦ, ὑπὸ φύσεως αὐτὸν διοικεῖσθαι. ἀπείρου μὲν γὰρ

CLEOMEDIS
circularis inſpectionis meteororum Liber I. Georgio Valla Placentino interprete.

CVM mũdus multis dicatur modis, de mũdana elegantia nunc omnis noſtra futura eſt oratio. Mundus eſt ex cœlo, terraque, necnon naturis, quæ eis cõprehenduntur, opificiũ. Is corpora cuncta comprehendit, nec extra ipſum (quem admodum alibi demonſtratur) prorſus quicquam eſt. Nõ infinitus, ſed definitus eſſe hinc facile comprobatur, ꝙ natura ipſum adminiſtret: nec fieri poſsit, ut infiniti

γὰρ οὐδενὸς φύσιν εἶν δυνατόν. δεῖ γὰρ κατακρατεῖν τὴν φύσιν, οὗ τινός ἐστιν. ὅτι δὲ φύσιν ἔχει τὴν διοικοῦσαν αὐτὸν, γνώριμον. πρῶτον μὲν, ἐκ τῆς τάξεως τῶν ἐν αὐτῷ μερῶν. ἔπειτα ἐκ τῆς τῶν γινομένων τάξεως. τρίτον, ἐκ τῆς συμπαθείας τῶν ἐν αὐτῷ μερῶν πρὸς ἄλληλα. τέταρτον, ἐκ τοῦ ἕκαστα πρός τι πεποιῆσθαι. καὶ λοιπὸν, ἐκ τοῦ πάντα μεγαλοφελεστάτας παρέχεσθαι τὰς χρείας. ἅπερ ἴδια καὶ τῶν ὅλων μέρους φύσεών ἐστιν, ὥστε φύσιν ἔχων ὁ κόσμος τὴν διοικοῦσαν, αὐτὸς μὲν πεπεράσθαι, ἀναγκαῖον. Τὸ δὲ ἐκτὸς αὐτοῦ

infiniti ulla ſit natura. naturam ſiquidẽ cuius eſt, oportet imperare. Quòd uerò ipſum natura adminiſtret, hinc facile datur intelligi. Primo ex eius partium ſerie, deinde ex procreatorum ordine: tertio ex cõmuni ad ſe inuicem partium, quæ in ipſo includuntur, affectione: quarto, quod ad aliquid ſint ſingula pro creata, & deniq; quod omnia in uſus commodiſsimos cedant, quæ peculiaria, & ſuarum ſingula ſunt naturarum. Et perinde cum diſtinctam naturam habeat, ipſum terminatũ eſſe neceſſe eſt. Extra ipſum

αὐτοῦ κενόν ἐστιν, ἀπὸ παντὸς μέρους εἰς ἄπειρον διῆκον. τούτου δὲ, τὸ μὲν ὑπὸ σώματος κατεχόμενον, τόπος καλεῖται. τὸ δὲ μὴ κατεχόμενον, κενὸν ἂν εἴη. ὅτι δὲ μὲν κενὸν, διὰ βραχέων ὑπομνήσομεν. πᾶν σῶμα, ἔν τινι εἶναι, ἀναγκαῖον. τοῦτο δὲ, ἐν ᾧ ἐστι, τοῦ κατέχοντος αὐτοῦ καὶ πεπληρωκότος, ἕτερον εἶναι δεῖ, ἀσώματον ὂν, καὶ οἷον ἀναφές. τὴν οὖν τοιαύτην ὑπόστασιν, οἵαν τ᾽ ἂν οὖσαν δέχεσθαι σῶμα καὶ κατέχεσθαι, κενὸν εἶναι φαμέν. ὅτι δὲ ἔν τινι τοιούτῳ τὰ σώματά ἐστι, μάλιστα ἐπὶ τῶν ὑδά-

ipſum uerò inane undique in infinitū profluit. Huius quod quidem à corpore cohibetur, locus nuncupatur: quod autē nō cohibetur, inane. Quod uero ſit inane, paucis explicabimus. Omne corpus in aliquo eſſe neceſſe eſt. Id aūt in quo eſt ipſum occupās & complēs aliud eſſe, ac planè incorruptū oportet, & tanq̄ ſub tactum non cadēs. Huiuſmodi profectò ſubſtantiam lociq; naturam, qualiſcūq; ſit, corpus admittere & cohibere, & inane eſſe profitemur. Quod porro in eiuſmodi aliquo ſint corpora, præcipuè in aquis,

ὑδάτων, καὶ πάσης τῆς ὑγρᾶς οὐσίας, πάρεστιν ὁρᾶν. ὁπόταν γὰρ ἐκ σκεύους, ὑγρὸν ἔχοντος καὶ στερεόν τι ἐν αὐτῷ σῶμα, ἄρωμεν τὸ στερεόν, συμπίπτει τὸ ὕδωρ ἐπὶ τὸν τοῦ ἐξῃρημένου τόπον. καὶ οὐκ ἔτι ἡ αὐτὴ ἔξαρσις αὐτοῦ φαίνεται, ἀλλὰ ἐλάττων, ὅσον τοῦ ἐξαρθέντος τὸ μέγεθος ἦν. καὶ πάλιν, ἂν εἰς πεπληρωμένον ὑγροῦ σκεῦος, στερεόν τι ἐμβληθῇ, τοσοῦτον ὑπερχεῖται τοῦ ὑγροῦ, ὅσος δὴ ὁ τοῦ ἐμβληθέντος στερεοῦ ὄγκος. οὐκ ἂν τούτου συμβαίνοντος, εἰ μὴ ἔν τινι τὸ ὑγρὸν ὑπῆρχε, πεπληρωμένῳ ὑπ' αὐτοῦ καὶ οἱῳτεοῦν ὄντι ὑπὸ σώματος

aquis, & omni humida eſſentia, nobis par eſt intueri. Cum enim ex uaſe humorem continente, ſolidumque aliquod in ſe corpus, & ſolidum ſuſtulerimus, collabitur aqua in ſublati locum, neque amplius hæc apparet eleuatio, ſed minor, quanta ſublatæ rei fuerit magnitudo. Rurſusq; ſi in uas humore repletum, ſolidũ aliquod immittatur, tantum humoris exundat ſuperflui, quantus ſolidi tumor fuerit iniecti. Neque id accideret, niſi in aliquo humor ipſum replens extitiſſet, & qualicunque à corpore occu-

ματος κατέχεσθαι. τὸ δὲ ὅμοιον καὶ ἐπὶ τοῦ ἀέρος γίνεσθαι ὑπολημπτέον. καὶ γὰρ οὗτος ἐξωθεῖται ἐκ τοῦ κατεχομένου ὑπ' αὐτοῦ τόπου, ὁπόταν στερεόν τι καταλαμβάνῃ αὐτόν. ὅταν γοῦν εἰς τὸ σκεῦος ἐγχέομέν τι, ἀντιλαμβανόμεθα ἐξιόντες τὰ ἐν αὐτῷ πνεύματα. καὶ μάλιστα, ὅταν στενὸν ἔχει τὸ στόμα. καὶ μὴν καὶ τὸν κόσμον αὐτὸν, δυνάμεθα ἐπινοῆσαι, κινούμενον ἐκ τοῦ τόπου, ὃν νῦν τυγχάνει κατειληφώς. ταύτῃ δὲ αὐτοῦ τῇ μεταβάσει, συνεπινοήσομεν τόν γε ἀπολειφθέντα τόπον κενὸν ὄντα, καὶ εἰς ὃν μετέστη κατειλημμένον καὶ κατεχόμενον ὑπ' αὐτοῦ.

re occuparetur. Idem uerò & in aëre fieri exiſtimandum eſt. is nanque ex loco ipſum comprehendente extruditur, cum à ſolido aliquo comprehendetur. Cum igitur in uas aliquod quippiã infundimus, ex ipſo flatum ſentimus euadentem, præcipuè cũ oris fuerit anguſti. Enimuerò mundum quoq; ex loco motum poſſumus intelligere, quem nunc occupauit. Hoc nimirum eius tranſitu relictum comprehendemus locũ eſſe inane, & in quem occupatum comprehenſumq; à ſeſe tranſierit,

οὗτος

οὗτος δ' ἂν εἴη κενὸν πεπληρωμένον. εἰ δὲ καὶ εἰς πῦρ ἀναλύεται ἡ πᾶσα οὐσία, ὡς τοῖς χαριεστάτοις τῶν φυσικῶν δοκεῖ, ἀνάγκη πλέον ἢ μυριοπλασίονα τόπον αὐτὴν καταλαμβάνειν. ὥσπερ καὶ τὰ εἰς ἀτμὸν ἐκθυμιώμενα τῶν στερεῶν σωμάτων. ὁ τοίνυν ἐν τῇ ἐκπυρώσει ὑπὸ τῆς οὐσίας ἐκχεομένης καταλαμβανόμενος τόπος, νῦν κενός ἐστιν. οὐδενός γε σώματος αὐτὸν πεπληρωκότος. εἰ δὲ φήσει τις μὴ γίνεσθαι ἐκπύρωσιν, οὐδὲν πρὸς τὸ μὴ εἶναι κενὸν ἐναντιοῦται τὸ τοιοῦτον. καὶ γὰρ εἰ μόνον ἐπινοήσομεν χεομένην τὴν οὐσίαν,

καὶ

is certe fuerit inane repletum. Quod ſi etiam in ignem omnis reſoluatur eſſentia, quemadmodum iucũdiſsimis uiſum eſt Phyſicis, locum pluſquã decies millies ipſum occupaſſe neceſſe eſt, quemadmodũ in uaporem corpora exhalant ſolida. Qui igitur in conflagratione ex eſfuſa occupatus eſt eſſentia, locus nunc inanis eſt, nullo ipſum complente corpore. Quod ſi quis occurrat, conflagrationem fieri nullam, is inane non eſſe eo modo, minimè controuerſatur: nam ſi profuſam modo intelligamus eſſentiam,

'ultraq;

καὶ ἐπὶ πλεῖον ἐκτεινο-
μένην, οὐδενὸς αὐτῇ
πρὸς τὴν τοιαύτην ἔ-
κτασιν ἐμποδὼν γενέ-
σθαι δυναμένου, αὐτὸ ἂν
τοῦτο, εἰς ὃ τῇ ἐπινοίᾳ
χωροίη κατὰ τὴν ἔκτα-
σιν, κενὸν ἂν εἴη. ὥσ-
περ ἀμέλει καὶ τὸ νῦν
κατεχόμενον ἀπ' αὐ-
τοῦ, κενὸν ἔσται πεπλη-
ρωμένον. ὅθεν οἱ λέ-
γοντες ἔξω τοῦ κόσ-
μου μηδὲν εἶναι, φλυα-
ροῦσιν. αὐτὸ τοῦτο, ὃ μη-
δὲν καλοῦσι, οὐδή-
πω χεομένῃ τῇ οὐσίᾳ
ἐμποδὼν δύναται
στῆναι. ὥστε ἐπιλήψε-
ταί τινος χεομένη ἡ οὐ-
σία. καὶ τὸ ἑκάστοτε κατὰ
τὴν χύσιν ἐπιλαμ-
βανόμενον ὑπ' αὐτῆς,
πληρω-

ultraq; protenſam, re nulla obuia, quæ talem extenſionem poßit prohibere, id ipſum in quod opinione ſeceſſerit, in extenſione inane fuerit: quemadmodum ſi curæ ſit nunc quoque noſſe ab ipſa occupatum inane completum fuerit. Quamobrem nugas agunt, qui extra mundum nihil eſſe aiunt. Id enim ipſum, quod nihil uocant, nullam effuſam eſſentiam contrà ſtando poterit prohibere. Proinde alicuius effuſa aſſumatur eſſentia, & ab ipſa quoduis naturaliter comprehenſum, ab

exiſti-

πληρωθήσεται ὑπὸ τοῦ ἐπιλαμβάνοντος. καὶ γενήσεται τόπος, ὥσπερ ἐστὶ, κενὸν ὑπὸ σώματος κατεχόμενον, καὶ πεπληρωμένον. ὥσπερ οὖν πάλιν συστελλομένης τῆς οὐσίας, καὶ εἰς ἐλάττονα ὄγκον συναγομένης, κενὸν γενήσεται. ὥσπερ τοίνυν ἐστὶ τὸ σῶμα δεξάμενον, οὕτως καὶ τὸ οἷόν τε δέξασθαι σῶμα. τὸ δὲ ὅπερ καὶ πληρωθῆναι καὶ ἀπολειφθῆναι ὑπὸ σώματος οἷόν τε, κενόν ἐστιν. ἀναγκαῖον τοίνυν εἶναί τινα ὑπόστασιν κενοῦ. ἔστι δὲ ἡ ἁπλουστάτη αὐτοῦ ἐπίνοια, ἀσωμάτου τε καὶ ἀναφοῦς ὄντος, καὶ οὔτε σχῆμα

existimante complebitur, eius'que fiet locus, quod eſt inane, à loco occupatum ac completum. Id porrò correpta eſſentia, & in aceruum conducta minorem, fiet inane. Quemadmodum igitur eſt quippiam quod corpus ſuſcipiat, ita etiam poſsibile eſt corpus ſuſcipere. Id autem quod compleri, planeq; occupari à corpore poſſit, eſt inane. Aliquam itaq; inanis ſubſtantiam eſſe neceſſe eſt. Eſt ſanè eius opinatio ſimpliciſsima, cum ſit corporis & tactus expers, neque

figuram

σχῆμα ἔχοντος, οὔτε σχηματιζομένου, οὔτε τι πάσχοντος, οὔτε ποιοῦντος, ἁπλῶς δὲ σῶμα δέχεσθαι οἵου τε ὄντος. τοιοῦτον δὲ ὑπάρχον τὸ κενὸν, ἐν μὲν τῷ κόσμῳ, οὐδὲ ὅλως ἐστί. δῆλον δὲ ἐκ τῶν φαινομένων. εἰ γὰρ μὴ συμφυὴς ὑπῆρχεν ἡ τῶν ὅλων οὐσία, οὔτ' ἂν ὑπὸ φύσεως οἷόν τ' ἦν συνέχεσθαι καὶ διοικεῖσθαι τὸν κόσμον, οὔτε τῶν μερῶν αὐτοῦ συμπάθειά τις ἂν ἦν πρὸς ἄλληλα, οὐδὲ μὴ ὑφ' ἑνὸς τόνου συνεχομένου τοῦ κόσμου δηλαδή. καὶ τοῦ πνεύματος μὴ διόλου ὄντος συμφυοῦς, οἷόν τ'

figuram habens, neq; figurati, nec patientis quicquam, neq; facientis, ſed ſimpliciter corpus excipientis, neque exiſtentis. Tale nimirum eſt inane. In mundo aũt prorſus nõ eſſe, ex eis quæ apparent, licet nobis perſpicere. Nam ſi non in totũ cognita horũ fuiſſet eſſentia, fieri non potuiſſet, ut à natura contineretur, ac adminiſtraretur mundus: neque eius partium ad ſe inuicem quæpiam foret communicatio, neq; ab uno loco, quem mundus comprehendat, & ſpiritu, qui omnifariam cognatus non ſit, potuiſſet

οἷόν τ' ἂν ἦν ἡμῖν ὁρᾶν ἢ ἀκούειν. μεταξὺ γὰρ ὄντων κενωμάτων, ἐνεποδίζοντο ἂν ἐπ' αὐτῶν αἱ αἰσθήσεις. τά τε στενόστομα τῶν σκευῶν περιτρεπόμενα ἐν τοῖς ὕδασι, ἐπίμπλαντο ἂν διὰ τῶν κενωμάτων, τοῦ ὕδατος παρεμπίπτοντος. νυνὶ δὲ οὐ γίνεται τοῦτο, διὰ τὸ πλήρη ἀέρος εἶναι αὐτά, καὶ τοῦτον μὴ δύνασθαι ἐκβληθῆναι, διὰ τὸ ὑπὸ τοῦ ὕδατος περιέχεσθαι τὰ στόματα αὐτῶν. ἔστι δὲ μυρία ἕτερα, δι' ὧν τοῦτο δείκνυται, περὶ ὧν νῦν λέγειν οὐκ ἀναγκαῖον. ἐν μὲν τῷ κόσμῳ κενὸν εἶναι ἀδύνατον. ἀριστοτέλης δὲ καὶ οἱ ἀπὸ τῆς αἱρέσεως, οὐδὲ

ἔξω

potuiſſet à nobis ſpectari uel audiri. interiectis nanque inanitatibus, ab ipſis ſenſus inhiberentur. Anguſtiſſimi quoq; oris uaſa in aquis ſubuerſa, per aquæ influentis inanitates implerentur. At id non fit, quòd aëre compleantur, qui erumpere, planéque euadere non poteſt, quòd ipſorum ora ab aqua obſideãtur. ſuntq; infinita alia, de quibus dicere neceſſe non eſt, quibus id demonſtratur. In mundo ergo inane eſſe, impoſſibile eſt. At Ariſtoteles, & eius ſectæ omnes, ne quidem

extra

ἔξω τοῦ κόσμου κενὸν λείπουσι. δεῖ γάρ φασιν τὸ κενὸν ἀγγεῖον εἶναι σώματος. ἔξω δὲ τοῦ κόσμου σῶμα οὐδέν ἐστιν, ὥστε οὐδὲ κενόν. τὸ δὲ ἐστιν εὐήθες, καὶ ὁμοιότατον, ὡς εἴ τις λέγοι, ἐπεὶ γοῦν τοῖς ξηροῖς καὶ ἀνύδροις τόποις εἶναι ὕδωρ οὐχ οἷόν τε, ἀδύνατον εἶναι καὶ σκεῦος ὕδωρ δέξασθαι δυνάμενον. εἰδέναι οὖν χρή, ὅτι τὸ ἀγγεῖον σώματος διχῶς λέγεται. τὸ μὲν ἔχον σῶμα, καὶ πεπληρωμένον ὑπ' αὐτοῦ. τὸ δ', οἷόν τε δέξασθαι σῶμα. ἀλλὰ φασίν, εἰ οὖν ἔξω τοῦ κόσμου κενόν, ἐφέρετο ἂν

δι' αὐ-

extra mūdū inane eſſe contenderūt. Oportet enim, inquiunt eius factionis philoſophi, inane corporis uas eſſe. Atqui extra mūdū corpus eſt nullū, & perinde ne qdē inane. Quod ſanè ſubinſulſum, ſimullimūq; eſt ut ſi quiſpiā dicat: quia in aridis, & aqua carētib. locis aqua eſſe nō poteſt, ne quidē uas, quod aquam poßit excipere. Nos ergo latere non debet, uas corporis duobus dici modis: uno, cum corpus habet à quo imbuitur: altero, quod poteſt corpus excipere. Verùm aiunt: Si extra mundum ſit inane, feretur

per

διὰ αὐτοῦ ὁ κόσμος, οὐδὲν ἔχων τὸ συνέχον τε καὶ ὑπερείδειν αὐτὸν δυνάμενον. φήσομεν δὲ, ὅτι ἀδύνατον φέρεσθαι διὰ τοῦ κενοῦ. νένευκε γὰρ ἐπὶ τὸ ἑαυτοῦ μέσον. καὶ τοῦτο ἔχει κάτω, ὅποι νένευκεν. εἰ γὰρ μὴ τὸ αὐτὸ μέσον εἶχεν ὁ κόσμος καὶ κάτω, ἐφέρετο ἂν ὁ κόσμος διὰ τοῦ κενοῦ. ὡς δειχθήσεται ἐν τῷ λόγῳ τῷ περὶ τῆς ἐπὶ τὸ μέσον φορᾶς. λέγεται κἀκεῖνο ὑπ' αὐτῶν, ὡς εἰ ἦν ἔξω τοῦ κόσμου κενὸν, χεομένη δι' αὐτοῦ ἡ οὐσία, ἐπ' ἄπειρον διεσκεδάσθη καὶ ἐσκορπίσθη. ἀλλὰ φήσομεν

per ipſum mundus, nihil habendo quod contineat, quodq; ipſum poßit ſuſpicere. Quibus reſpondemus, fieri non poſſe, ut per inane deferatur, quandoquidē ad ſuū uergit mediū, idq; habet deorſum quò uergit. Niſi enim id medium habeat mundus, & deorſum, feretur deorſum per inane mūdus: quemadmodū in oratione quæ eſt de meatu ad medium, demonſtrabitur. Et illud quoque ab eadē dicitur factione: Quod ſi extra mundum ſit inane, fuſa per ipſum eſſentia in infinitum diſpargeretur, atq; diſpeſceretur. Cui

φήσομεν, ὡς μηδὲ τοῦτο δύνασθαι παθεῖν. ἕξιν γὰρ ἔχει τὴν συνέχουσαν αὐτὴν, καὶ συντηροῦσαν. καὶ τὸ μὲν περιέχον αὐτὴν κενὸν, οὐδὲν ποιεῖ. αὐτὴ δὲ ὑπερβαλλούσῃ δυνάμει χρωμένη, συντηρεῖ ἑαυτὴν συστελλομένη τε, καὶ πάλιν χεομένη ἐν αὐτῷ κατὰ τὰς φυσικὰς αὐτῆς μεταβολὰς, ἄλλοτε μὲν εἰς πῦρ χεομένη, ἄλλοτε ἐπὶ κοσμογονίαν ὁρμῶσα. εὐήθες δὲ καὶ τὸ λέγειν αὐτοὺς, ὅτι εἰ ἔξω τοῦ κόσμου κενόν ἐστιν, τοῦτο ἄπειρον εἶναι δεήσει. εἰ δὲ ἄπειρόν ἐστι, τὸ ἔξω τοῦ κόσμου κενὸν, καὶ

occurrimus, ne id quidem poſſe pati. Habitum ſiquidem habet, qui ipſam continet, atque agglutinat, ac ipſam comprehendens inane facit nihil. Hæc poteſtate eximia utendo, ſe conſeruat corripiendo, ac rurſus in ſe effundendo, iuxta ſuas naturales mutationes aliquando in ignem effundens, aliquando in mundanam concitata genituram. Inſulſum etiam eſt, quod aiunt, ſi extra mundum ſit inane, id infinitum eſſe opus ſit. Quod ſi infinitum ſit extra mundum inane, etiam

καὶ σώματα ἄπειρα εἶναι δεήσει. οὐ γὰρ ἀπολήγει τῇ τοῦ κενοῦ ἀπειρίᾳ, καὶ σῶμα ἄπειρον εἶναι. ἡ μὲν γὰρ τοῦ κενοῦ ἐπίνοια οὐδαμοῦ καταλήγει. ἐν δὲ τῇ τοῦ σώματος ἐννοίᾳ, εὐθὺς καὶ τὸ πεπερασμένον περιέχεται, καὶ οὐδὲν δύναται ἑξῆς ἀπείρου εἶναι. πῶς γὰρ ἂν δύναιτο τι ἄπειρον ὄν, ὑπό τινος ἔχεσθαι; λέγεται δὲ καὶ ἕτερα παρὰ αὐτῶν ὅμοια. ὅτι μὲν οὖν ἔξω τοῦ κόσμου κενὸν εἶναι ἀναγκαῖον, γνώριμον διὰ τῶν προαποδεδειγμένων. ὅτι δὲ τοῦτο παρὰ παντὸς μέρους εἰς ἄπειρον διήκειν ἂν ἀναγκαιότατόν ἐστι,

tiam infinita corpora eſſe oportebit. Nō enim de inani ambiguitatem cōſequitur, corpus eſſe infinitum: nam de inani opinio nuſquam eſſe deſinit, at in corporis notione illico etiā terminatū cōprehēditur, nihilq; poteſt habitus infiniti eſſe, quo pacto potuerit quod ſit infinitum ab aliquo cohiberi? Dicuntur aũt etiam alia nonnulla ab ipſis ſimilia. Quod igitur extra mundum inane eſſe neceſſe ſit, ex his quæ demonſtrata ſunt, deprehenditur. Quod uerò id ab omni parte in infinitum penetret, maximè neceſſarium eſt.

ἐστι, διὰ τούτων καταμάθοιμεν πᾶν τὸ πεπερασμένον εἰς ἑτερογενὲς περατοῦται, καὶ ὅ ἐστιν ἕτερον τοῦ περατουμένου, οἷον εὐθὺς ἐν τοῖς ὅλοις ὁ ἀὴρ περατούμενος, εἰς ἑτερογενῆ καταλήγει, τόν τε αἰθέρα, καὶ τὸ ὕδωρ, καὶ ὁμοίως ὁ αἰθὴρ, εἴς τε τὸν ἀέρα καὶ τὸ κενόν. καὶ τὸ ὕδωρ, εἴς τε τὴν γῆν καὶ τὸν ἀέρα. καὶ ἡ γῆ, εἰς τὸ ὕδωρ. καὶ ὁμοίως τὰ ἡμέτερα σώματα, εἰς ἑτερογενὲς περατοῦται, τὴν ἐπιφάνειαν ἀσώματον οὖσαν. ἀναγκαῖον τοίνυν, καὶ εἰ τὸ περιέχον τὸν κόσμον κενὸν περατοῦται. ἀλλὰ μὴ ἄπειρόν ἐστιν,

εἰς

eſt. Hincq; didicerimus omne terminatum in alterius generis aliud terminatur, quod'que aliud à terminato eſt, ut ſtatim in cunctis aër terminatus, in alterius generis aliud deſinit, æthera & aquam. itidem æther in aëra, & cœlum: & aqua in terram, & aërem: & terra in aquam, & aërem. Et ſimiliter noſtra corpora in alterius generis aliud terminantur, ſuperficiemq;, quæ corporis expers eſt. Neceſſe igitur etiam, ſi mundum comprehendens inane terminatur, ut non ſit infinitum

in

εἰς ἑτερογενὲς καταλή-
γειν αὐτό. οὐδὲν δ᾽ ἐστὶ γνῶ-
σιν ἑτερογενὲς ἐπινοῆ-
σαι τοῦ κενοῦ, εἰς ὃ κα-
ταλήγει. ἄπειρον ἄρα
ἐστίν. εἰ γὰρ καὶ ἐπινοή-
σαιμέν τι ἑτερογενὲς τοῦ
κενοῦ, εἰς ὃ περατωθή-
σεται, δεήσει τοῦτο καὶ
πεπληρωμένον εἶναι,
καὶ τὸ πεπληρωκὸς
γενήσεται σῶμα. καὶ
οὕτως ἔξω τοῦ κόσμου
σῶμα ἔσται δεήσει, ὅπερ
ὁ φυσικὸς οὐχ ὑπα-
γορεύει λόγος, πάν-
των γε σωμάτων ὑ-
πὸ τοῦ κόσμου περι-
εχομένων. ἀφ᾽ ὧν
γνώριμον, ὡς οὐχ ἐν-
δέχεται περατοῦσθαί
που τὸ ἔξω κενόν.

in alterius generis aliud deſinere. Atqui nihil eſt alterius generis aliud ab inani cognoſcere, in quod deſinat. Infinitum ergo eſt. Nam ſi norimus quicquam alterius generis aliud ab inani in quod terminabitur, id completum eſſe opus erit: quodque compleuit, ratio non pronunciat cunctorum corporum á mundo comprehenſorum, á quibus cognitum non contingere, ut uſpiam terminetur, quod extra eſt inane. Infinitum ergo eſt. Præterea ut omne termi-

ἄπειρον ἄρα ἐστί, καὶ μὴν, ὥσπερ πᾶν τὸ πε-

πεπερασμένον, ὑπό τινος περιεχόμενον ὑπονοεῖται (εἰ δὲ μή, οὐδ' ἂν εἴη πεπερασμένον) οὕτως καὶ εἰ τὸ κενὸν πεπέρασται, ὑπό τινος αὐτὸ περιέχεσθαι ἀναγκαῖον. τί ἂν οὖν εἴη τοῦτο; σῶμα; οὐ δύναται, ἐπεὶ μηδὲν ἔξω τοῦ κόσμου σῶμα. εἰ δὲ καὶ εἴη τι, πάλιν τοῦτο πεπερασμένον ὑπὸ κενοῦ, περιέχεσθαι δεήσοι τὸ κενόν. εἰ καὶ τοῦτο πάλιν μὴ ἔσαι ἄπειρον, ὑπὸ ἑτέρου σώματος ἂν περιέχοιτο. ὅπερ καὶ αὐτὸ, πάλιν ὑπὸ κενοῦ ἑτέρου περιέχοιτο ἂν, καὶ αὐτό γε πέρατα ἔχειν ὀφεῖλον.

καὶ

natum, ab aliquo comprehēſum intelligitur. Quod ſi minus, ne quidem fuerit terminatū. Ita etiam ſi inane ab aliquo terminetur, ipſum comprehendi neceſſe eſt. Quid'nā igitur id fuerit? corpus'ne? at id fieri nō poteſt, quia nullum extra mundū corpus. Quod ſi etiam aliquod ſit, rurſus id finitum ab inani cōprehendi oportebit. Ac id porrò inane, ſi non erit infinitum, ab alio corpore comprehenditur. quod etiam ipſum rurſus ab alio inani comprehendatur neceſſe eſt, & ipſum habere extrema oportuit.

atq;

καὶ τοῦτο μέχρις ἀπείρου. καὶ οὕτως, σώματα γενήσεται καὶ κατὰ πλῆθος καὶ κατὰ μέγεθος, ἄπειρα. ὧν οὐδὲν ἐστι δυνατόν. ὥστε εἰ πεπέρασται τὸ ἔξω τοῦ κόσμου κενόν, καὶ πάντως ὑπό τινος περιέχεται, ὑπὸ σώματος δὲ οὐ περιέχεται, ὑπὸ ἀσωμάτου περιέχοιτο ἄν. τί ἂν οὖν εἴη τοῦτο; χρόνος; ἐπιφάνεια; λεκτέον, ἕτερόν τι τῶν παραπλησίων. ἀλλ᾽ οὐκ εὔλογον ὑπό τινος τούτων περιέχεσθαι τὸ κενόν. δεήσοι τοίνυν ἄλλο κενὸν εἶναι, τὸ περιέχον αὐτό.

καὶ

atq; hoc in infinitum uſq;. Et perinde corpora fuerint & multitudine & magnitudine infinita, quorũ neutrum eſſe poteſt. Proinde ſi terminatũ eſt quod extra mundũ inane, & omnino ab aliquo comprehẽditur, à corpore autem non cõprehenditur, ab incorporato itaque comprehendatur. Quod'nã igitur id erit? tẽpus'ne? an ſuperficies? dicendũ utiq; eſt aliquid huiuſmodi. At id dicere rectè nõ poſsis, ab aliquo horũ inquam inane comprehendi. Opus igitur erit, aliud eſſe inane, quod ipſum comprehendat,

&

καὶ τοῦτο ὑφ' ἑτέρου περιέχεσθαι δεήσοι, οὐκ ὂν ἄπειρον. καὶ τοῦτο ὑφ' ἑτέρου, μέχρις ἀπείρου. καὶ οὕτω, μὴ θέλοντες ἄπειρον ἀπολιπεῖν τὸ ἔξω τοῦ κόσμου κενόν, εἰς ἀνάγκην περιστησόμεθα, τοῦ, ἀπείρους ἑτερότητας ἀπολιπεῖν κενῶν. ὅπερ ἐσχάτης ἀτοπίας ἐχόμενόν ἐστιν. ἀναγκαῖον τοίνυν ὁμολογεῖν ἡμᾶς, ἄπειρον εἶναι, τὸ ἔξω τοῦ κόσμου κενόν. ἄπειρον τοίνυν ἅμα καὶ ἀσώματον ὄν, οὔτε ἄνω ὄν τι ἔχοι, οὔτε κάτω, οὔτε ἔμπροσθεν, οὔτε ὄπισθεν, οὔτε ἐκ δεξιῶν, οὔτε ἐξ εὐωνύμων, οὔτε μέσον. αὐταὶ

& hoc ab alio comprehendi opus erit, quod non ſit infinitū, hocq́; ab alio, in infinitum uſq;. Atq; ita qui noluerint infinitum dicere extra mundum inane, in neceſsitatem decurrent infiniti, inanium relinquendo alienas eſſentias: quod extremam habet abſurditatem. Neceſſe igitur eſt nobis confiteri, infinitum extra mundum inane eſſe. Cum igitur infinitum ſit, & corporis expers, neq; quicquam ſurſum habet, neque infra, neque antè, neq; ponè, neque dextrorſum, neque læuorſum, neq; medium. Hæ

αὗται γὰρ αἱ σχέσεις ἑπτὰ οὖσαι, περὶ σώματα θεωροῦνται. ὥστε περὶ μὲν τὸ κενὸν οὐδὲ μία αὐτῶν ὑπάρχει. αὐτὸς δὲ ὁ κόσμος, σῶμα ὤν, ἔχει τι καὶ ἄνω καὶ κάτω, καὶ τὰς λοιπὰς σχέσεις ἀναγκαίως. ἐμπρόσθια μὲν οὖν, τὰ πρὸς τῇ δύσει φασὶν εἶναι αὐτοῦ, ὡς ἐπὶ δύσιν ἔχει τὴν ὁρμήν. ὀπίσθια δὲ τὰ πρὸς τῇ ἀνατολῇ. ἀπὸ τούτων γὰρ ἐπὶ τὰ πρόσθεν πρόεισιν. ὅθεν δεξιὰ μὲν αὐτοῦ, τὰ πρὸς ἄρκτον. εὐώνυμα δὲ, τὰ πρὸς μεσημβρίαν γενήσεται. καὶ αὗται μὲν αἱ σχέσεις αὐτοῦ, οὐδὲν ἔχουσιν ἀσαφές, αἱ δὲ λοιπαὶ

σχέσεις

Hæ nanque habitudines, quæ ſunt ſeptem, de corporibus inſpiciuntur, quarum nulla circa inane eſt. Ipſe autem mundus cum ſit corpus, habet aliquid ſuprà, & infrà, reliquasq; neceſſariò habitudines. Anteriora, quæ ad occaſum ipſius eſſe aiunt, quia ad occaſum impulſum habet. Poſteriora uerò ad ortum: ab eis nanque in anteriora procedit, unde eius dextera ad ſeptentrionem, læua uerò ad meridiem erunt. Atque hæ quidem ipſius habitudines nihil occultum habēt. At reliquæ

habitu-

σχέσεις, πολλὴν παρέσχον ταραχὴν τοῖς παλαιοτέροις τῶν φυσικῶν. καὶ πλεῖστα γέγονε διὰ τὸν τόπον διαπτώματα, οὐ δυνηθέντων ἐπιστῆσαι, ὅτι ἐν τῷ κόσμῳ, σφαιρικῷ τῷ σχήματι ὄντι, κάτω μὲν τὸ ἀπὸ παντὸς αὐτοῦ, τὸ μεσαίτατον εἶναι ἀναγκαῖον. ἄνω δὲ, τὸ ἀπὸ παντὸς τοῦ μέσου ἐπὶ τὰ πέρατα, καὶ τὴν ἐπιφάνειαν αὐτὴν τῆς σφαίρας διῆκον, συμπιπτουσῶν τῶν δύο σχέσεων ἐν αὐτῷ, καὶ τοῦ αὐτοῦ μέσου τε, καὶ κάτω ὑπάρχοντος, ἐπὶ μὲν τῶν ἀπεμεμηκισμένων τὸ σχῆμα σωμάτων διισταμένων τούτων. ἐπὶ δὲ τῶν σφαιρικῶν οὐδαμῶς, ἀλλὰ συμπιπτουσῶν

habitudines multam antiquis Phyſicis præbuere moleſtiam; multiq; per locum facti dilapſus ſunt, cum noſſe non poſſent in mundo globoſæ figuræ, infrà quidem ab ipſius toto medioxumum eſſe neceſſarium, ſurſum autem à totius medio ad extrema, ipſius'que ſuperficiem penetrans: conuenientibus duabus habitudinibus in ipſo, & eiuſdem medio, & infrà exiſtente. In profuſis figura corporibus his diſtinctis; in globoſis autem nequaquam, ſed conuenientibus

τῶν

τῶν δύο σχέσεων. νοοῦμεν γὰρ ἀναγκαῖον ἀπὸ τῆς ἐπιφανείας ἰέναι τὸ ἔσω τοῦ μέσου ταῖς σφαιρικαῖς τῶν ἕξεων. καὶ οὕτω κάτω αὐτὰς ἔχειν ταῦτα, εἰς ἃ νενεύκασιν. ταυτὸν οὖν καὶ τῷ κόσμῳ συμβέβηκε, σφαιρικῷ κατὰ τὸ σχῆμα ὄντι. καὶ τὸ αὐτὸ γίνεται κάτω, καὶ μέσον αὐτοῦ εἰς ταυτὸ τῶν σχέσεων τούτων συμπιπτουσῶν ἐν αὐτῷ. τοῦτο δὲ προηγουμένως μὲν ἐνδειχθήσεται ἐν τῷ περὶ τῆς ἐπὶ τοῦ μέσου φορᾶς λόγῳ. νῦν δ' ἀπ' αὐτῶν τῶν κατὰ τὴν αἴσθησιν φανταζομένων ἡμῖν, ἁπλούστερον ἐπιδείξομεν. πάντες τοίνυν σαφῶς ὁρῶμεν,

duabus habitudinibus. A ſuperficie enim uergere neceſſe eſt ad ipſorum medium globoſis habitibus, atque ita infra ipſas hæc habere, in quæ diuergant. Id nimirum mundo euenit, quòd ſit figuræ globoſæ: idemque fit, infra & ipſius medium, hiſce habitudinibus in ſe confluentibus. Hoc ſanè in primis demonſtrabitur in oratione quæ erit de meatu ad medium: in præſentia uerò ab imaginatis à nobis ſenſu, ſimplicius demonſtrabimus. Omnes igitur

ἐν ᾧ ἂν κλίματι ὦμεν τῆς γῆς, ὑπερκείμενον τῆς κορυφῆς ἡμῶν τὸν οὐρανόν. τὰ δὲ κύκλῳ αὐτοῦ πάντα ἡμῖν ἐγκεκλιμένα φαντάζεται. ἔπειτα προϊοῦσιν ἐφ' ὁποιαδηποτοῦν τῶν κλιμάτων τῆς γῆς, τέως ἐν ἐγκλίσει φανταζόμενα, κατὰ κορυφὴν γίνεται ἡμῶν. οὐκ ἂν τούτου συμβαίνοντος, εἰ μὴ ἀπὸ παντὸς μέρους ὑπέκειτο τῆς γῆς ὁ οὐρανός, καὶ αὐτὸ τὸ μεσαίτατον τοῦ κόσμου κάτω ἦν. τὸ δὲ ἀπὸ τούτου ὡς ἐπὶ τὸν οὐρανὸν διῆκον, ἄνω. καὶ ὁπότ' ἂν πελαγὸς πλέωμεν, ἐν ᾧ οὐχ ὁρᾶται ἡ γῆ,

κύκλῳ

in quo orbis terrarum climate ſimus, facile intuemur cœlũ nobis à uertice imminere: quæ uerò ipſius circũeant, cuncta nobis exiſtimamus declinantia. Deinde procedentibus ad quæcunq; terræ climata, quæ tanquam in declinatione fuerant imagine comprehenſa, nobis fiunt ad uerticem. Neque id contingeret, niſi undique cœlum terræ incubaret, mundiq; medioxumum ſit infrà: à quo ad cœlum quod inſurgit, ſuprà nominatur. Et cum mare nauigemus, in quo terra loco non ſpectatur,

circum

κύκλῳ περὶ τὸν ὁρίζοντα φαντάζεται ἡμῖν ὁ οὐρανὸς ψαύων τοῦ ὕδατος. ἐπειδὰν δὲ παραγενώμεθα εἰς τὸν τόπον ἐκεῖνον, ἔνθα ψαύων τῆς θαλάσσης ὁ οὐρανὸς ἡμῖν φαντάζεται, πάλιν ὑπερκείμενος ὁρᾶται. καὶ προϊόντων ἑκάστοτε περὶ τὸν πλοῦν, οὕτω συμβαίνει. ὥστε καὶ εἰ οἷόν τε ἦν, κύκλῳ πᾶσαν ἐκπεριπλεῦσαι, ἢ ἄλλως περιελθεῖν τὴν γῆν, μηδενὸς αὐτῆς ἀοικήτου ὄντος, καταμάθοιμεν ἂν σαφῶς, ὅτι παντὸς αὐτῆς μέρους, ὑπέρκειται ὁ οὐρανός. καὶ οὕτω τὸ μέσον τοῦ κόσμου, ἅμα τε μέσον καὶ κάτω. ἀλλὰ τοῦτο

μὲν οὐ

circumcirca in horizonte (quem latina uoce dicimus finientem) nobis cœlum imaginamur aquam contingere. At cum eò peruenerimus, ubi nobis imaginamur cœlum maris aquas contingere, rurſus ſpectatur ſupernè incubare: procedendoque quouis nauigio id cõtingit. Proinde, ſi fieri poſsit, ut nauizijs, uel quoquo modo aliter ambulando terra circuatur, nulla pars erit, ubi cœlum non ſupernè incubet. Et perinde mundi medium pariter tam infrà quàm medium eſt. Verum hoc

potius

μὲν ἡ διδασκαλία ἐστὶν ὡδὶ τὸ μέσον φορᾶς τῶν βαρέων σωμάτων μᾶλλον παραστήσει.

Περὶ τῶν κύκλων τοῦ οὐρανοῦ.

Γράφονται δὲ ἐν τῷ οὐρανῷ κύκλοι παράλληλοι πέντε. εἷς μὲν, ὁ εἰς δύο ἴσα τέμνων τὸν οὐρανὸν, ὃν καλοῦμεν ἰσημερινόν. τούτου δ' ἑκατέρωθεν δύο, αὐτοῦ μὲν μείονες, ἴσοι δὲ ἀλλήλοις, καλοῦνται τροπικοί, ἐπεὶ διὰ τῶν τροπικῶν τοῦ ἡλίου σημείων γράφομεν αὐτούς. καθ' ἑκάτερον δὲ τούτων, πάλιν ἕτεροι γράφονται δύο, ὧν ὁ μὲν βόρειος καλεῖται ἀρκτικός, ὁ δὲ

potius exarat diſciplina, quæ de grauiũ corporum meatu ad medium eſt.

De cœli orbibus.

Orbes in cœlo paralleli, hoc eſt ſegmenta quinq; deſcribũtur. unus quidẽ qui diuiduè cœlũ diſpeſcit, quẽ æquinoctialem appellamus: cuius utrinq; duo, ut æquinoctiali minores, ita inter ſe inuicẽ æquales. nominanturq; tropici, quia per ſolis puncta tropica à nobis deſcribũtur, q ultro citroq; ſolis limites ſũt extremi ad utrũq; porrò iſtorũ alij totidẽ deſcribũtur, quorũ unus qdẽ boreus uocatur arcticus, cui

ὁ δὲ ἐναντίος αὐτῷ ὁ ἀνταρκτικός. οὗτοι δὲ παρὰ τὰς τῶν κλιμάτων διαφορὰς ἄλλοι παρ' ἄλλοις εἰσὶ μείζους, καὶ ἐλάσσους γινόμενοι, καὶ τέλειον ἀφανιζόμενοι. καὶ δὴ ἔνθα μὴ ἀφανίζονται, τὸν μὲν ἀόρατον αὐτῶν εἶναι, τὸν δ' ἀεὶ φανῆ. τούτοις γίνεται τοῖς διαστήμασι τοῦ οὐρανοῦ, ἃ τοῖς προειρημένοις διΐσταται κύκλοις, ὑπόκειται μέρη τῆς γῆς πέντε. ἓν μὲν, τὸ περιεχόμενον ὑπὸ τοῦ ἀρκτικοῦ. ἕτερον δὲ, τὸ ὑποκείμενον διαστήματι τῷ μεταξὺ τοῦ ἀρκτικοῦ, καὶ τοῦ θερινοῦ τροπικοῦ. τρίτον, τὸ μεταξὺ δύο τροπικῶν, ὃ καθ' αὐτὸ τὸ

μεσαί-

cui contrarius antarcticus auſtralis. Hi per alias atque alias climatum differentias, alij apud alios maiores & minores euadunt, & deniq; euaneſcunt. Et ubi non comparent, unus ſub aſpectum prorſus non cadit, alter apparet perpetuus. His nimirum cœli interuallis quæ memoratis orbibus diſtinguuntur, terræ partes quinq; ſubijciuntur. Vna ſub arctico, nempe ſeptentrione cōprehenditur: Altera ſuppoſita ſpacio, quod inter ſeptentrionem & æſtiuū tropicum eſt. Tertia inter duos tropicos, quæ

medio-

μεσαίτατον ὑποκείμενον ἔχει τὸν ἰσημερινόν. τέταρτον, τὸ γοῦν μέσον χειμερινοῦ τροπικοῦ καὶ ἀνταρκτικοῦ. πέμπτον, τὸ περιεχόμενον ὑπὸ τοῦ ἀνταρκτικοῦ. ταύτας τοίνυν τὰς μοίρας τῆς γῆς, οἱ φυσικοὶ ζώνας καλοῦσι. καὶ ἑκατέραν μὲν τῶν ἄκρων ἀοίκητον ὑπὸ κρύους εἶναί φασι. τὴν δὲ μεσαιτάτην, ὑπὸ φλογμοῦ. τὰς δὲ ταύτης ἑκατέρωθεν, εὐκράτους εἶναι. ἐπειδὴ κέκραται αὐτῶν ἑκατέρα, ὑπό τε τῆς διακεκαυμένης, καὶ τῆς ἑκατέρας αὐτῶν παρακειμένης, κατεψυγμένης.

πάλιν

medioxumum obtinēs locum incubantem, ſuperné ſibi habet æquinoctialem. Quarta medium hyberni tropici ſpacium & Antarctici tenet. Quinta, ſub Antarctico. His itaque terræ partes Phyſici zonas ſeu cingula uocant, quorum extima utraque ob gelu rigorem inhabitabilia eſſe perhibentur, ut medioxumum propter æſtum habitationi non eſt obnoxiū. Inter quod & extima ſunt temperata. Temperatior ſiquidem utraq; efficitur zona ab exuſta, & utraq; aſsiſtente, & cōtermina frigida.

Rurſus

πάλιν οὖν τούτων τῶν εὐκράτων, ἑκατέραν εἰς δύο διαιροῦντες, κατά τε τὸ ὑπὲρ γῆς, καὶ ὑπὸ γῆς δοκοῦν ἡμισφαίριον, τέσσαρας οἰκουμένας εἶναι φασίν, ὧν μίαν μὲν ἔχειν ἡμᾶς, τοὺς ἱστορουμένους ἀνθρώπους. μίαν δὲ, περιοίκους, οἳ ἐν τῇ αὐτῇ εὐκράτῳ ὑπάρχοντες, ἡμῖν τὸ δοκοῦν ὑπὸ γῆς οἰκοῦσι κλίμα. τρίτην δὲ, τοὺς ἀντοίκους. τετάρτην δὲ, τοὺς ἀντίποδας ἡμῖν, οἵτινες ἔχουσι μὲν τὴν ἀντεύκρατον. εἰσὶ δὲ αὐτῶν, οἱ μὲν τὸ ὑπὲρ γῆν ἔχοντες κλίμα, ἄντοικοι ἡμῶν, οὓς καὶ αὐτῶ-

Rurſus harũ temperatarum utranq; in duas diſpeſcũt parteis, in eã quam ſupra terram, & eam quã ſub terra eſſe opinantur dimidiã, quatuor habitatas eſſe ferunt. Quarũ nos unã homines habere perhibent: alterã quos parœcos uocant, quod ualet circũhabitantes, qui in eodẽ, quo nos, tẽperato climate ſub terra creduntur habitare: tertiã antœcos, quod eſt è regione habitantes: quartã nobis antipodas, qui obiectam è regione nobis habitant temperatam. Sunt uerò ipſorum qui ſub terra clima incolunt, quos etiam antœ-

ἀντώμους καλοῦσιν. οἱ δὲ ὑπὸ τῆς γῆς, ἀντίποδες. πάντων γὰρ ἐπὶ γῆς βεβηκότων, ἐπὶ τὸ κέντρον καὶ αὐτὸ τὸ μεσαίτατον τῆς γῆς, τὰ ἴχνη βλέπειν ἀναγκαῖον. καὶ γὰρ αὐτῆς σφαιρικῷ τῷ σχήματι κεχρημένης, κάτω τὸ μεσαίτατόν ἐστιν. ὅθεν οὐχ οἱ περίοικοι ἡμῶν ἀντίποδες λέγονται, ἀλλ' οἱ ἐν τῇ ἀντεύκρατῳ, τὸ ὑπὸ γῆς ἔχοντες κλίμα, οἱ κατὰ διάμετρον κείμενοι ἡμῶν. τὰ γὰρ τούτων ἴχνη, ἀντικρὺ τῶν ἡμετέρων ἰχνῶν ἐστί. τὰ δὲ τῶν ἡμετέρων περιοίκων οὐ πρὸς τὰ ἡμέτερα ἴχνη

ὁρώμενα

antώmos, quod eſt humeris auerſos uocant. Atqui ſub terra Antipodes. Omnium nanque in terra gradientium ad centrum terræque medioxumum ueſtigia ſpectare neceſſe eſt. Nam cum figuræ ſit ipſa globoſæ, infernè eſt medioxumum. Vnde qui circum nos habitant, neutiquam fiunt Antipodes, ſed qui intemperato ſub terra climate habitant, qui è regione nobis obijciuntur. Nam eorum ueſtigia noſtris ſunt oppoſita ueſtigijs, cum circa nos habitantium noſtra neutiquam

ſpectent

ὁρώμενα ὀρθὰ, ἀλλὰ πρὸς τὰ τῶν ἀντοίκων. ὥστε πάλιν οὗτοι ἀλλήλων ἀντίποδες γίνονται. οἱ δὲ ἡμέτεροι ἀντίποδες, ἄντοικοι γίνονται τῶν περιοίκων ἡμῶν. τῶν τοιούτων σχέσεων ὁμοίων γινομένων ταῖς τῶν φίλων, καὶ ἀλλ' οὐ ταῖς τῶν πατρῶν καὶ παίδων, οὐδὲ ταῖς τῶν δούλων καὶ δεσποτῶν. ἀντιστρέφουσι γὰρ ἐκεῖναι. καὶ γὰρ τῶν ἡμετέρων περιοίκων, καὶ ἡμεῖς περίοικοι γινόμεθα. καὶ τῶν ἀντιπόδων, ἀντίποδες. καὶ ὁμοίως ἄντοικοι, τῶν ἀντοίκων. ἔστι δὲ ἡμῖν καὶ κοινά τινα πρὸς ἑκάστους

ſpectent ueſtigia, ſed eorum quos Antœcos diximus nominari. Et perinde hi rurſus inuicem inter ſe fiunt Antipodes. At qui ſunt nobis Antipodes, Antœci fiunt eis qui circum nos habitant. Tales ſunt hæ profectò habitudines, quales amicorum & fratrũ, non utiq; patrũ & filiorum, neq; ſeruorum & dominorũ. Illæ ſiquidem ex altera parte ſibi correſpondẽt: noſtrorum enim Periœcorum nos Periœci efficimur, & Antipodũ Antipodes, itidem Antœcorũ Antœci. Sunt etiam nobis quædam illorum ſingulis

ἑκάστους αὐτῶν, καὶ κεχωρισμένα. πρὸς μὲν τοὺς περιοίκους, κοινὰ ἡμῖν ἐστὶν πρῶτον μὲν, τὸ τὴν αὐτὴν οἰκεῖν εὔκρατον, ἔπειτα, τὸ καὶ τὸν αὐτὸν ἔχειν χειμῶνα καὶ θέρος, καὶ τὰς ἄλλας ὥρας, καὶ αὐξήσεις καὶ μειώσεις ἡμερῶν τε καὶ νυκτῶν. διαφέρουσι δὲ, κατὰ τὰς ἡμέρας, καὶ τὰς νύκτας. παρ᾽ ἡμῖν γὰρ ἡμέρας οὔσης, παρ᾽ ἐκείνοις νύκτα εἶναι δεῖ. καὶ ἔμπαλιν, πλατύτερον τούτου λεγομένου. οὐ γὰρ ἀκριβεῖ λόγῳ, ὁπόταν καταδύηται παρ᾽ ἡμῖν ὁ ἥλιος, ἀρχὴν λαμβάνει τοῦ παρ᾽ ἐκείνοις ἀνίσχειν. ἐπεὶ οὕτως ἂν μακρᾶς οὔσης παρ᾽ ἡμῖν τῆς ἡμέρας, ἡ νὺξ παρ᾽ ἐκείνοις

ſingulis communia, & ſeparata. Ad Periœcos quidē cōmunia ſunt nobis, primò quòd eandē temperatã habitamus. Deinde quòd eandem hyemē habemus & æſtatem, horasq; alias, et augmenta, & diminutiones dierum pariter & noctium. Differunt autem diebus & noctibus. Nobis enim cum erit dies, illis noctem eſſe oportet: & uiciſſim obliquius hoc dicto, non examinata ratione, cum nobis ſol occiderit, ſumit initium apud illos ortus: quia quàm longus dies nobis fuit, tam illis nox

μακρὰ

μακρὰ ἐγίνετο, καὶ ἦν σὺν συνηλλαγμένα ἡμῖν τὰ τῶν ὡρῶν καὶ περὶ τὰς αὐξήσεις τῶν ἡμερῶν τε καὶ νυκτῶν, νυνὶ δὲ σφαιρικὴν οὖσαν τὴν γῆν, περιϊὼν καὶ κυκλεύων ὁ ἥλιος, οἷς ἑκάστοτε ἐπιβάλλει τὰς ἀκτῖνας, ὑπερτιθέμενος περὶ τὴν πορείαν τὰ κυρτώματα τῆς γῆς ταῦτα. ὅθεν ἔτι παρ' ἡμῖν ὑπὲρ γῆς ὁρώμενος, ἐκείνοις ἀνίσχειν φαίνεται ἀναγκαίως. σφαιρικὴν γε ὄντι σχήματι ὑπάρχουσαν περιεχόμενος τὴν γῆν, περὶ τὴν τῶν κυρτωμάτων ὑπόθεσιν, ἄλλοτε παρ' ἄλλοις ἀνίσχων. πρὸς δὲ τοὺς ἀντοίκους, κοινὰ ἡμῖν ἐστὶν, ἓν μὲν τὸ

longa, temporaq́; nobis permutantur, quæ in augmento, quæq́; in minutione dierum ſunt, & noctium, nunc globoſam terram ambiens circuiensq́; ſol: quibus quandocunq; radios iaculatur terræ faſtigijs, itinere ſuperinuectus eam illuſtrat, illuminat que. Inde ſupra terram adhuc nobis perſpectus, illis oriri appareat neceſſe eſt. Cumq́; ſit globoſa terra, ipſam ambiendo, per omnia ſcandendo faſtigia, aliquando alijs imminet exoriens. Sed Antœcis ſunt nobis communia, quòd unum ἡμῖν ἐστὶν, ἓν μὲν τὸ

κἀκείνους καὶ ἡμᾶς, τὸ ὑ-
πὲρ γῆς ἔχειν ἡμισφαί-
ριον. δεύτερον, τὸ κατὰ
ταὐτὸ ἔχειν ἡμᾶς, τάς
τε ἡμέρας καὶ τὰς νύ-
κτας. καὶ τοῦτο πλατύ-
τερον λεγομένου. παρ' ἡ-
μῖν μὲν γὰρ μεγίστης ἡμέ-
ρας οὔσης, παρ' ἐκείνοις
ἐλαχίστη γίνεται. καὶ ἔμ-
παλιν. ἐνήλλακται δὲ ἡ-
μῖν πρὸς αὐτοὺς τὰ κατὰ
τὰς ὥρας, καὶ τὰς αὐξή-
σεις καὶ μειώσεις τῶν ἡμε-
ρῶν τε καὶ νυκτῶν. πρὸς
δὲ τοὺς ἀντίποδας, οὐδὲν
ἡμῖν κοινόν ἐστιν, ἀλλὰ
πάντα ἀντέστραπται.
καὶ γὰρ τὰ ὑπὸ γῆν ἀλ-
λήλων ἔχομεν κλίμα-
τα. καὶ τὰ κατὰ τὰς ὥ-
ρας ἡμῖν ἔμπαλιν ἔ-
χει, καὶ τὰ κατὰ τὰς
ἡμέρας

*& illi & nos ſuprà ter-
ram habeamus hemi-
ſphærium. Secundum
autem nos habemus in
eodem dies & noctes.
hocq; paulo latius di-
ctum. Siquidem cum
nobis dies eſt longiſſi-
mus, illis eſt breuiſſi-
mus: & contrà. permu-
tatur nanq; nobis cum
illis ſpaciũ temporariũ,
dierum inquam ac no-
ctium augmenta &
diminutiones. Verùm
cum Antipodibus no-
bis nihil eſt commu-
ne, quòd omnia con-
trà reſpondeant. Nam
ſub terra inter nos
inuicem climata ha-
bemus, & tempo-
ra habemus contraria
die*

ἡμέρας καὶ νύκτας, καὶ τὰ κατὰ τὰς αὐξήσεις τῶν ἡμερῶν καὶ μειώσεις. ὅτι δὲ εἶναι δεῖ καὶ περιοίκους, καὶ ἀντίποδας, καὶ ἀντοίκους, φυσιολογία διδάσκει. ἐπεὶ οὐδέν γε τούτων κατὰ ἱστορίαν λέγεται. οὔτε γὰρ πρὸς τοὺς περιοίκους ἡμῖν πορεύεσθαι δυνατὸν, διὰ τὸ ἄπλωτον εἶναι, θηριώδη, τὸν διείργοντα ἡμᾶς ἀπ' αὐτῶν ὠκεανόν. οὔτε πρὸς τοὺς ἔχοντας τὴν ἀντεύκρατον. ἐπεὶ ἀδύνατον ἡμῖν, τὴν διακεκαυμένην ὑπερβῆναι. τὰ δὲ ἐπίσης εὔκρατα κλίματα τῆς γῆς, καὶ οἰκεῖσθαι ἐπίσης ἀναγκαῖον.

die noctuq́;. Idem eſt de augmentis & diminutionibus dierũ. Quod autem eſſe oporteat periœcos & antipodas, et antœcos, docet phyſiologia: quandoquidem horum nihil memoratur in hiſtoria. neque enim ad Periœcos ullũ nobis eſſe iter poteſt, quod innauigabilis & beluoſus nobis ad ipſos acceſſum prohibeat Oceanus: & ne quidem acceſſus eſt ad eos nobis qui cõtra nos temperatã zonam habẽt, quandoquidẽ torrida non poteſt à nobis ſuperari. quæ profectò temperata terræ climata, æquè quoq; habitari neceſſe

ἀναγκαῖον. φιλόζωος γὰρ ἡ φύσις. καὶ ὅπου δυνατὸν τῆς γῆς, πάντα ἐμπεπλῆσθαι καὶ λογικῶν καὶ ἀλόγων ζώων, λόγος αἱρεῖ. ἑξῆς ἐπιδεικτέον τὴν αἰτίαν, δι' ἣν τὰ μὲν κατέψυκται, τὰ δὲ διακέκαυται τῆς γῆς, τὰ δὲ εὐκράτως ἔχει. καὶ διότι ἀντέστραπται τὰ περὶ τὰς ὥρας, καὶ τὰς αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν τε καὶ νυκτῶν, τοῖς τὴν αὐτὴν εὔκρατον ἔχουσιν.

neceſſe eſt. Nam animantium amica natura eſt, & ubicūq; cunctis rationalibus et rationis expertibus cōpleri animalibus potuit terra, ibi capit optionē. Hinc nobis eſt aperiēda cauſa, qua partes aliæ rigeſcunt gelu, aliæ torrentur æſtu, aliæ ſunt temperatæ, & cur tempora permutantur, augmenta & diminutiones, quæ ſibi inuicem opponuntur temperatæ dierum habent.

Περὶ τῆς σφαιρῶν οὐρανίων κινήσεως.

De globorum cœleſtium cōuerſione.

Ο τοίνυν οὐρανὸς κύκλῳ εἱλούμενος ὑπὲρ τὸν ἀέρα καὶ τὴν γῆν, καὶ ταύτην τὴν κί-

κινησιν

Cum igitur cœlum circumcirca ſupra terram & aërem conuertatur, hunc que mo-

tum

νησιν, προνοητικὴν οὖσαν, ἐπὶ σωτηρίᾳ καὶ διαμονῇ τῶν ὅλων ποιούμενος, ἀναγκαίως καὶ πάντα τὰ ἐμπεριεχόμενα αὐτῷ τῶν ἄστρων περιάγει. τούτων τοίνυν τὰ μὲν ἁπλουστάτην ἔχει τὴν κίνησιν ὑπὸ τοῦ κόσμου στρεφόμενα, καὶ διὰ παντὸς τοὺς αὐτοὺς τόπους τοῦ οὐρανοῦ κατέχοντα. τὰ δὲ κινεῖται μὲν καὶ τὴν σὺν τῷ κόσμῳ κίνησιν ἀναγκαίως περιφερόμενά γε ὑπ' αὐτοῦ διὰ τὴν ἐμπεριοχὴν, κινεῖται καὶ ἑτέραν προαιρετικὴν, καθ' ἣν καὶ ἄλλοτε ἄλλα μέρη τοῦ οὐρανοῦ καταλαμβάνει. αὐτὴ δὲ ἡ κίνησις αὐτῶν σχολαιοτέρα μὲν τῆς τοῦ κόσμου κινήσεως.

tum à prouidentia nactum ſit ad ſalutem, & uniuerſitatis diuturnitatem, id habens, cuncta in ipſo comprehenſa ſidera circumagat neceſſe eſt. Quorum alia à mundo conuerſa ſimpliciſſimum motum habent, & per omne cœlum eadem tenent loca. Alia uerò mouentur quidem, & à mundo circumacta neceſſariò ob illam conuerſionem, ſed alio delecto mouentur motu, quo alio tempore partes cœli alias tenent. Is autem ipſorum motus mundano motu eſt obliquior,

δοκεῖ

δοκεῖ δὲ καὶ τὴν ἐναντίαν κινεῖσθαι τῷ οὐρανῷ, ὡς ἀπὸ τῆς δύσεως εἰς τὴν ἀνατολὴν φερόμενα. τὰ μὲν οὖν πρῶτα αὐτῶν, καλεῖται ἀπλανῆ. ταῦτα δὲ πλανώμενα, ἐπειδὴ ἄλλοτε ἐν ἄλλοις μέρεσι τοῦ κόσμου φαντάζεται. τὰ μὲν οὖν ἀπλανῆ ἀπεικάσειεν ἄν τις ἐπιβάταις, ὑπὸ νεὼς φερομένοις, ἐν τόποις οἰκείοις ἐπὶ χώραν μένουσι. τὰ δὲ πλανώμενα, τὴν ἐναντίαν τῇ νηῒ φερομένοις, ὡς ἐπὶ τὴν πρύμναν, ἀπὸ τῶν κατὰ τὴν πρῶραν τόπων, ταύτης τῆς κινήσεως σχολαιοτέρας γινομένης.

εἰκα-

qui cœli motui uidetur contrarius: quippe quòd ab occaſu in ortum deferantur. Prima itaq; omnium aſtra non errantia, quòd cœlo hæreant, uocitantur. Alia uerò errantia, quandoquidem alias in mundi partibus aliis emicant. Hærentes igitur cœlo ſtellæ cuipiã ἐπιβάταις perſimiles uidebuntur, qui in ſuis poſiti locis, à naui deferũtur, à ſuo non cedentes loco. Errantes autem & uagæ contrario nauis motu ferri, tanquam à prora in puppis locum procedant: quem obliquiorem motum for-

micarum

εἰκασθείη δ' ἂν καὶ μύρμηξιν ὑπὸ κεραμικοῦ τροχοῦ τὴν ἐναντίαν τῷ τροχῷ περιαγωγὴν ἕρπουσι. τὸ μὲν οὖν τῶν ἀπλανῶν πλῆθος ἀπελθόν ἐστι. τὰ δὲ πλανώμενα, ἄδηλον μὲν εἰ καὶ πλείω ἐστίν. ἑπτὰ δὲ ὑπὸ τὴν ἡμετέραν γνῶσιν ἐλήλυθεν. ὧν ὑψηλότατος μὲν εἶναι δοκεῖ ὁ φαίνων καλούμενος, ὁ τοῦ κρόνου ἀστὴρ, τριακονταετεῖ χρόνῳ τὸν οἰκεῖον κύκλον ἀπαρτίζων κτ̃ τὴν περιαγωγὴν τῶν κινήσεων. ὑπὸ τοῦτόν ἐστιν ὁ τοῦ διὸς, καλεῖται φαέθων, δωδεκαετίᾳ τὸν οἰκεῖον ἀμείβων κύκλον. ὑπὸ τοῦτον πυρόεις, ὁ τοῦ

micarum progreſsibus dixeris eſſe perſimilē, quæ in rota figulari rotæ motu repant contrario. Hærentium itaque cœlo ſtellarum multitudo eſt infinita. Errantes uerò ſint'ne plures, incertum eſt: ſeptem certè in noſtram peruenere cognitionem. quarum altiſsima eſſe nobis uidetur Phænon dicta (quæ Saturni ſtella) trigeſimo anno, unde cœpit, ſuum ambitum, & delectum motum perficiens. Sub hoc Iouis eſt ſtella, uocata Phaëton, quæ duodecim annorū ſpacio ſuum abſoluit ambitum. Sub quo Pyrois, quæ

ὁ τοῦ ἄρεως, ἀτακτοτέραν μὲν τὴν κίνησιν ἔχων. δοκεῖ δὲ ὢν καὶ οὗτος ἐνιαυτοῖς δυσὶ περιερχόμενος τὸν οἰκεῖον κύκλον. ὑπὸ τοῦτον, ὁ ἥλιος εἶναι ὑπονοεῖται, μέσος ὑπάρχων τῶν ἄλλων. οὗτος ἐνιαυτῷ περιερχόμενος τὸν οἰκεῖον κύκλον, κατὰ ταύτην μὲν τὴν κίνησιν τὰς ὥρας ἀπαρτίζει, κατὰ δὲ τὴν σὺν τῷ κόσμῳ, τὰς ἡμέρας ἐπιτελεῖ. ὑπὸ τοῦτον ὁ τῆς ἀφροδίτης ἐστί, καὶ ἐνιαυσιαίαν τὴν περίοδον ἔχων. καλεῖται δέ, ὁπόταν ἐπικαταδύῃ τῷ ἡλίῳ, ἑσπέριος· ὁπόταν δὲ προανίσχῃ αὐτοῦ, ἑωσφόρος. τινὲς δὲ διὸ τοῦτο καὶ φωσφόρον καλεῖν

quæ Martis, incertiorem habens motum. Videtur itaq; etiam is duobus annis & menſibus quinq; ſuum conficere ambitum. Sub quo ſol eſſe intelligitur, qui aliarum medius eſt ſtellarum, qui ſuum circulũ annuo peragit ſpacio. Hoc motu definit anni tempora quatuor, cum mundano autem motu dies conficit. Sub Sole Venus eſt, annuam ipſa quoq; conuerſionẽ habens: nominatur autem cum Solem cõſequitur occidentem, Veſper: cum uerò orientem antecedit, Lucifer. quam ſtellam tam ἑωσφόρον, *quàm* φωσφόρον *nominare*

καλεῖν εἰώθασιν. ὑπὸ δὲ τὴν ἀφροδίτην ἐστὶν, ὁ τοῦ ἑρμοῦ, στίλβων καλούμενος. καὶ τοῦτον, σὺν αὐτῷ περιϊέναι τὸν ἴδιον κύκλον φασίν. ὑπὸ τοῦτον ἐστὶν ἡ σελήνη, προσγειοτάτη πάντων τῶν ἄστρων ὑπάρχουσα. καὶ ἐπὶ τῆς συναφῆς τοῦ ἀέρος πρὸς τὸν αἰθέρα εἶναι λέγεται. ὅθεν καὶ ζοφῶδες αὐτῆς τὸ οἰκεῖον ὁρᾶται σῶμα. τὸ δὲ λαμπρυνόμενον αὐτῆς, ἀπὸ ἡλίου ἔχει τὴν λαμπηδόνα, ἀεὶ τοῦ πρὸς αὐτὸν τετραμμένου αὐτῆς ἡμισφαιρίου καταλαμπομένου. αὕτη τὸν ἴδιον ἀπαρτίζει κύκλον, ἐν ἑπτὰ καὶ εἴκοσιν ἡμέραις, καὶ ἥμισυ.

συνο-

nominare conſueuerunt. Sub Veneris ſtella eſt Mercurij, quæ & Stilbon, hoc eſt radians dicta. eius quoq; annuum eſſe curſum perhibent. Sub Mercurio Luna eſt, omnium ſtellarum terræ proxima, quæ in æthere ad aëris contactum eſſe memoratur, unde & opacum eius ſpectatur corpus. Quod uerò lumine colluſtretur, à ſole lumen mutuatur, eius hemiſphærio ad ſolem ſemper conuerſo fulgente. Hæc ſuum peragit orbem uiginti & ſeptem diebus, addita parte unius diei dimidia:

ad

συνοδεύει δὲ τῷ ἡλίῳ διὰ λʹ. οὗτοι δὲ πάντες, τὴν ἐναντίαν τῷ οὐρανῷ κινούμενοι, καὶ ἄλλοτε ἐν ἄλλοις ὁρώμενοι, οὔτε ἄτακτον τὴν πορείαν ποιοῦνται, οὔτε δι' ὧν ἐπέτυχε τοῦ κόσμου μερῶν ἴασιν, ἀλλὰ διὰ τοῦ καλουμένου ζωδιακοῦ κινοῦνται.

Περὶ τοῦ ζωδιακοῦ.

Ἔστι δὲ ὁ ζωδιακὸς κύκλος λοξός, διά τε τῶν τροπικῶν καὶ ἰσημερινοῦ βεβλημένος, καὶ ἑκατέρου μὲν τῶν τροπικῶν καθ' ἓν ψαύων σημεῖον, τὸν δὲ ἰσημερινὸν εἰς δύο ἴσα τέμνων. τούτου δὲ τοῦ ζωδιακοῦ πλάτος ἀξιόλογον ἔχοντος, τὰ μὲν

ad coitum autem cum ſole triginta diebus uenit. Hæ omnes ſtellæ contrario cœli mouentur motu, aliæq; in alijs perſpectæ, neq; inordinatum iter faciũt, neq; ut fors obtulit, à mundi partibus incedunt, ſed per eũ orbẽ qui ſignifer appellatur, ipſum neutiquam excedẽdo.

De orbe ſignifero.

Eſt nimirum ſignifer circulus obliquus per tropicos & æquinoctialẽ proiectus, qui utrunque tropicũ uno in puncto contingit, ſed æquinoctialem diuiduè ſecat. Huius nempe ſigniferi ſatis amplam habentis latitudinem, partes

τὰ μὲν βόρειά ἐστι, τὰ δὲ νότια, τὰ δὲ τούτων μέσα. διόπερ καὶ τρισὶ γράφεται κύκλοις, ὧν ὁ μὲν μέσος ἡλιακὸς καλεῖται. οἱ δὲ ἑκατέρωθεν, ὁ μὲν βόρειος, ὁ δὲ νότιος. διὰ τούτου δὴ τοῦ ζωδιακοῦ, οἱ μὲν ἄλλοι πλανῆται κατὰ τὴν παρασειρικὴν κίνησιν, ἄλλοτε μὲν τῶν βορείων, ἄλλοτε δὲ τῶν νοτίων πελάζουσι. μόνος δὲ ὁ ἥλιος, διὰ μόνου τοῦ μέσου κινεῖται, οὔτε τῶν βορείων, οὔτε τῶν νοτίων πελάζων. τοῦ μὲν γὰρ κόσμου αὐτοῦ, καὶ τοῖς βορείοις, καὶ τοῖς νοτίοις προσέρχεται μέρεσιν, ἀπὸ τροπῶν ἐπὶ τροπὰς ἰών.

αὐτοῦ

partes aliæ ſunt ſeptentrionales, aliæ auſtrales, aliæ inter has mediæ. Ideo etiam tribus ſcribũtur circulis, quorum medius ſolaris nominatur. alij altrinſecus, quorum unus ſeptentrionalis, alter auſtralis. Per hunc ſigniferum uagæ aliæ ſtellæ motu delecto, modò ad ſeptentrionem, modò ad auſtrum accedunt. Solus ſol per medium duntaxat mouetur, non in ſeptentrionẽ, non in auſtrum uergens, ſed mundi ipſius ſeptentrionales & auſtrales partes petit, à tropicis ad ſolſtitia perueniens.

αὐτοῦ δὲ τοῦ ζωδιακοῦ οὐδετέροις, ἀλλὰ τὸ μεσαίτατον αὐτοῦ τέμνει κύκλον κατὰ τὴν πορείαν. ὅθεν καὶ ἡλιακὸς οὗτος κέκληται. οἱ δὲ λοιποὶ πλάνητες τοῦ κόσμου περιέρχονται τοῖς βορείοις τε καὶ νοτίοις μέρεσιν, καὶ αὐτοῦ τοῦ ζωδιακοῦ κύκλου ἑλικοειδῶς γοῦν αὐτοῦ κινούμενοι. ἐκπιόντες γὰρ ἀπὸ τοῦ βορείου ἐπὶ τὸ νότιον, κἀνθένδε πάλιν ἐπὶ τὸ βόρειον ἀνατρέχονται, οὐκ εὐθεῖαν, οὐδὲ ἁπλῆν, καθάπερ ὁ ἥλιος, ἀλλὰ ἑλικοειδῆ τὴν διʼ αὐτοῦ ποιοῦνται κίνησιν. καὶ ὁπότε μὲν ἀπὸ τοῦ βορείου, ὡς ἐπὶ τὸ διὰ μέσου φέροιντο, λέγονται

in ſignifero autem neutram partem, ſed medioxumum ſuo itinere orbem ſecat, unde etiam ſolaris circulus appellatur. At reliquæ uagæ ſtellæ, & mundi auſtrales, & ſeptentrionales, & ipſius ſigniferi partes petunt in ipſo obliquæ motæ. Permetiendo enim à ſeptentrione in auſtrum, atque porrò inde in ſeptentrionem recurrendo, non rectam lineam neque ſimplicem ſicut ſol, ſed obliquam per ipſum mouentur. Sed quandoque à ſeptentrionali ad medium feruntur, & tum dicuntur

λέγονται ὕψος ταπεινοῦσθαι. ὁπότε δὲ τὸν διὰ μέσου διελθόντες, πρὸς νοτίῳ προχωροῖεν, λέγονται ταπείνωμα ταπεινοῦσθαι. ἀνατρέχοντες δὲ πάλιν ἐπὶ τὸ διὰ μέσου, ταπείνωμα ὑψοῦσθαι λέγονται. ἐπειδὰν δὲ ἀμείψαντες τὸν διὰ μέσου πρὸς βορείῳ προσπελάζωσιν, ὕψος ὑψοῦσθαι. συμβέβηκε γὰρ τὰ μὲν βόρεια τοῦ ζῳδιακοῦ ἐπὶ πολὺ τοῦ ὁρίζοντος ἐξῆρθαι, τὰ δὲ νότια μᾶλλον πρὸς ὁρίζοντι πελάζειν. διὰ τὸ ἐγκεκλίσθαι ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια, τὸν κόσμον ἐν τῇ καθ᾽ ἡμᾶς οἰκουμένῃ. οὕτω δὲ κινουμένων ἐν τῷ ζῳδια-

dicuntur faſtigiatim humiliari. Cum autem per medium incedentes in auſtrum ſecedunt, dicuntur humiliter humiliari. recurrentes porrò ad medium, humiliter in ſublime eleuari. At cum à medio ſeptentrionem uerſus permearint, ſublimiter ſublimes fieri. nam contingit ſeptentrionales ſigniferi partes plurimum ſupra horizontem eleuari, cum auſtrales partes magis horizonti propinquæ fiant. Quod mundus à ſeptentrione in auſtrum inclinetur in noſtro terrarum orbe, cum hoc pacto in ſigni-

ζωδιακῷ τῶν πλανήτων, ὁ ἥλιος τὸ μεταξὺ τῶν τροπικῶν πλάτος κινούμενος γοῦν περὶ κόσμου, ἀναγκαίως διακαίει τὸ ὑποκείμενον πλάτος τῆς γῆς, περὶ τῷ προειρημένῳ τῶν τροπικῶν διαστήματι. ἐπεὶ δὲ πάλιν οὔτε ἀπὸ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια ἰὼν, τὸν θερινὸν τροπικὸν ὑπερβαίνει, οὔτε ἀπὸ τούτου ὡς ἐπὶ τὰ νότια, τὸν χειμερινὸν τροπικόν. οὕτω συμβέβηκεν, τὰς ὑπὸ τοῖς ἄρκτοις ζώνας κατεψῦχθαι, ὡς ποῤῥωτάτω τοῦ ἡλίου ἀφεστώσας. τὰς δὲ περὶ μεταξὺ τροπικῶν τε καὶ ἀρκτικῶν ὑποκειμένας πλάτει, εὐκράτους εἶναι. καὶ αὕτη μὲν ἡ αἰτία,

ſignifero planetæ moueantur, ſol inter tropicos mundi emenſus latitudinẽ, exurat ſubiectam terræ latitudinem neceſſe eſt, iam dicto inter tropicos interuallo. Cum porrò neque ab auſtralibus ad ſeptentrionalia iens, æſtiuum excedat tropicum, neq; ab hoc ad auſtralia hybernum tropicum, contingit ſub polis zonas gelu rigere, utpote quæ à ſole longiſſimè abſunt, quæ inter tropicos & arcticos, eæ in latitudine collocatæ temperatæ ſunt. Eademque cauſa eſt,

τοῦ τὰς

τοῦ τὰ μὲν κατεψύχθαι, τὰ δὲ διακεκαῦσθαι, τὰ δὲ εὔκρατα τῆς γῆς εἶναι. τοῦ δὲ συνηλλάχθαι τὰ περὶ τὰς ὥρας, ἐν ταῖς εὐκράτοις καὶ τὰ περὶ τὰς αὐξήσεις τῶν ἡμερῶν, τοιάδε τις αἰτία ἐστίν. τῆς γῆς σφαιρικῷ τῷ σχήματι κεχρημένης, καὶ ἀεὶ παντὸς μέρους τοῦ οὐρανοῦ κάτω ὑπαρχούσης, συμβέβηκε τὰ κλίματα αὐτῆς μὴ ἔχειν τὴν αὐτὴν σχέσιν πρὸς τὸν ζωδιακόν. ἄλλα γὰρ ἄλλοις μέρεσι τοῦ οὐρανοῦ ὑπόκειται. ὅθεν διάφορα ταῖς κράσεσίν ἐστιν, ὡς ἐπιδέδεικται. ἐν μὲν οὖν τῇ διακεκαυμένῃ αὐτὸ τὸ μεσαίτατον τῆς γῆς ἐπεχούσῃ, ὅτε οὐδὲ τὰ βόρεια, οὔτε οὐδὲ τὰ νότια

cur illæ gelu rigentes, & hæc torrida, & iſtæ in terra tēperatæ ſunt. Quod porrò temperatis tempora permutentur, quòd augeantur ac minuantur dies, huiuſmodi eſt cauſa. Cum figuræ ſit terra globoſæ, & undiq; ſub cœlo æquè infrà ſit, eius climata cōtingit, non eandem ad ſigniferum aſſequi habitudinem. alia enim ſub alijs cœli partibus ſunt. Vnde & cōplexionibus eſt differentia, ſicut eſt demonſtratum. In torrida igitur ipſius terræ medioxumum ita habet, ut neque ad ſeptentrionem, neque ad auſtrum

ἐγκέκλιται ὁ κόσμος, ἀλλ' ἴσην ταύτην τὴν θέσιν ἔχει, ἑκατέρου τῶν πόλων ὑπὲρ τοῦ ὁρίζοντος θεωρουμένου, καὶ ἀρκτικῶν κύκλων ἐν τούτῳ κλίματι οὐχ ὑπαρχόντων, ἀλλὰ πάντων καὶ καταδυομένων, καὶ πάλιν ἀνισχόντων, μηδενὸς ἁπλῶς ἀειφανοῦς ἐνταῦθα εἶναι δυναμένου. ἀπὸ δὲ τοῦ κλίματος τούτου ὡς ἐπὶ τὰς δυσκράτους ἰόντων ἀλλοιοτέρα φαντάζεται ἡ τοῦ κόσμου θέσις. τοῦ μὲν ἀποκρυπτομένου τῶν πόλων, τοῦ δ' ἐξαιρομένου καὶ ὑψουμένου ἀπὸ τοῦ ὁρίζοντος. εἰ μὲν οὖν τις ἐκεῖθεν ὡς ἐπὶ τὴν ἡμετέραν εὔκρατον ἴοι, ὁ μὲν νότιος αὐτῷ πόλος ἀφανὴς γίνοιτο,

ἐπιπο-

mundus inclinetur, ſed æquiſsimam habet poſitionem ſuper horizonte, inſpecto utroq; polo, nullo orbe arctico in hoc climate exiſtente, ſed cuncta prorſus occidūt ſidera, & rurſus oriuntur, nullumq; ſimpliciter ſemper apparere ibi poteſt. At ab hoc climate intemperatas uerſus abeuntibus, alteratior mundi poſitio imaginatur polorū, altero latitante, altero ſublato, et ab horizōte ſublimi. Si quiſpiam igitur illinc ad noſtrā zonā eat tēperatā, auſtralis ei polus occultatur,

ἐπιπροσθούμενος κατὰ τὴν πορείαν, ὑπὸ τοῦ περὶ τὴν γῆν κυρτώματος. ὁ δὲ Βόρειος, εἰς ὕψος ἀπὸ τοῦ ὁρίζοντος ἐξαίροιτο. εἰ δὲ ἐπὶ τὴν ἀντεύκρατον ἀπὸ τῆς διακεκαυμένης ὑποθώμεθά τινα πορευόμενον, τοὐναντίον ἂν γένοιτο. ὑψουμένου ἀπὸ τοῦ ὁρίζοντος τοῦ νοτίου πόλου, ἀφανοῦς δὲ τοῦ βορείου γινομένου.

Περὶ τῆς διακεκαυμένης.

Ὑποκείσθω τοίνυν τις ἐκ τῆς διακεκαυμένης εἰς τὴν ἡμετέραν εὔκρατον ἰὼν, οὐκοῦν ἔτι μὲν ὄντι αὐτῷ ὑπὸ τὸν ἰσημερινὸν, ἑκάτερος τῶν πόλων ἐπὶ τοῦ ὁρίζοντος ὀφθήσεται, καὶ

terræ inter eundem gibbi obice, ſeptentrionalis autem ad faſtigium ab horizonte conſurgit: ſin ad alteram temperatam à torrida iter faciat, erit contrarium, ſublato ab horizonte polo auſtrali, ſicut ſeptentrionali occultato.

De torrida.

Detur itaq; quiſpiam à torrida in noſtram ire temperatam, an non cum adhuc ſub æquinoctiali fuerit, utrunque polum in horizonte ſpectauerit,

καὶ οὔτε ἀφανές τι τῶν ἄστρων αὐτοῖς γενήσεται, οὔτε ἀειφανές. ὅθεν οὐδ' οἱ κύκλοι ἀρκτικοί. ἀρκτικὸν γὰρ εἶναι κύκλον δεῖ καθ' ἡμᾶς, τὸν τὰ ἀειφανῆ τῶν ἄστρων περιλαμβάνοντα. ἀνταρκτικὸν δὲ, τὸν τὰ κεκρυμμένα περιέχοντα. ἐπειδὰν δὲ ἀρχὴν λάβῃ τις ἐκεῖθεν ἐνταῦθα παραγίνεσθαι, ὁ μὲν νότιος αὐτῷ πόλος ἀποκεκρυβήσεται ἀναγκαίως, ὑπὸ τοῦ τῆς γῆς κυρτώματος. ὁ δὲ βόρειος ἐκ τοῦ πρὸς λόγον εἰς ὕψος ἂν διαίροιτο. καὶ οὕτως ἂν αὐτοῖς ἔγκλιμα λαμβάνει ὁ κόσμος ἀπὸ τῶν βορείων, ὡς ἐπὶ τὰ νότια. καὶ τὰ μὲν ἀφανῆ, τὰ δ'

ἀειφανῆ

neque occultabitur ei aſtrum aliquod, neque perpetuò apparebit, & perinde ne quidem ullus arcticus circulus. Circulus nanque arcticus eſt, limes ſemper apparentium nobis aſtrorum. Antarcticus uero, limes ſemper occultorum. Cum cœperis huc illinc proficiſci, polus auſtralis tibi occultetur neceſſe eſt, gibbi terræ obice. Septentrionalis autem ex faſtigij ratione attolletur. Et perinde ita inclinationem capit mundus à ſeptentrione in auſtrum, ut aliæ partes occultentur, aliæ ei

ſemper

ἀειφανῆ γένοιτ' ἂν, αὐτῷ τε περὶ τοὺς πόλους ἄστρων. καὶ οἱ τοῦτα περιέχοντες ἀρκτικοὶ ὑφίστασιν τ' ἂν ἀναγκαίως κατὰ τὴν προκοπὴν τῆς πορείας μετεγκλινόμενοι, καὶ τοῦ κόσμου ἀεὶ μᾶλλον κατὰ τὴν πορείαν ἐγκλινομένην τὴν θέσιν λαμβάνοντος. τὰ μὲν βόρεια τοῦ ζωδιακοῦ, ὑψηλὰ καὶ ἐπιπλεῖστον ἀπὸ τοῦ ὁρίζοντος ἐξηρμένα ὀφθήσεται· τὰ δὲ νότια, ταπεινά, καὶ μᾶλλον τῷ ὁρίζοντι πελάζοντα. καὶ αὖ τοῦτον τὸν τρόπον ἀπὸ μεσημβρίας πρὸς ἄρκτον ἰών, εἰς τὸ ἑλληνικὸν τῆς γῆς ἀφίκηται κλίμα, πρὸς ὃ καὶ τὰ φαινόμενα Ἄρατος πεποίηται, ἐφάψεται

ſemper appareant, & circa polos aſtra. Septentrionales, qui circum hæc habitant, his ſubſternantur neceſſe eſt, ut itineris tulerit inclinatio, mundo ſemper magis ex itinere inclinatam capiente poſitionem. Septentrionalia ſigniferi ſublimia, ut plurimum in horizonte ſublata ſpectabũtur, auſtralia uerò humilia, magiſq; ad horizontẽ accedentia. atq; hoc modo à meridie ad ſeptentrionem iens, ad græcũ terræ perueniet clima, ad quod ſua Aratus compoſuit Phænomena, nẽpe apparentia,

ἐφάπτεται αὐτοῦ τοῦ ὁρίζοντος ἡ τοῦ δράκοντος κεφαλή, καὶ οἱ τῆς ἑλίκης πόδες. καὶ τούτῳ τῷ μεγέθει τοῦ ἀρκτικοῦ, ἴσος γενήσεται ἀναγκαίως καὶ ὁ τὰ κεκρυμμένα περιέχων τῶν ἄστρων. οὕτω δὲ τοῦ κόσμου ἐγκεκλιμένου, ἐξῆς νοῆσαι δεῖ, ὡς ἕκαστος τῶν ἀπλανῶν ἀστέρων σὺν τῷ κόσμῳ εἰλούμενος, περὶ τὸ οἰκεῖον κέντρον, κύκλον περιγράφει. οὗτοι τοίνυν πάντες μέν εἰσι παράλληλοι. μέγιστος δὲ γε αὐτοῖς [illegible] τοῦ ἰσημερινοῦ· ἐλάχιστοι οἱ περὶ τοὺς πόλους τοῦ κόσμου εἰσίν. ὥστε οἱ μὲν ἀπὸ τούτων ἀεὶ πρὸς τὸν ἰσημερινὸν ἰόντων γραφόμενοι,

μείζους

ubi contingit ipſum horizontem draconis caput, & helices pedes. Huic arctici magnitudini ſit æqualis neceſſe eſt, qui aſtra occulta limes comprehendit. Atque ita inclinato mundo, deinceps noſſe oportet quamlibet hærentium cœlo ſtellarum cum mundo obuolutam, circa ſuum centrum circulum deſcribere, qui omnes ſunt paralleli. Cum'que inter ipſos maximus ſit æquinoctialis, minimi qui circa polos mundi ſunt, & perinde qui ab ijs ad æquinoctialem ſunt deſcripti,

iuxta

μείζους, πρὸς λόγον τῆς ἀπὸ τῶν πόλων διαστάσεως, γίνονται. οἱ δὲ ἀπὸ τοῦ ἰσημερινοῦ ὡς πρὸς τοὺς πόλους, μικρότεροι, πρὸς λόγον τῆς ἀποστάσεως. συμπάντων τοίνυν τούτων, τοῦ τε μεγίστου, καὶ τῶν ἐλαχίστων, καὶ τῶν μεταξὺ, ἐν μὲν τῷ ὑπὸ τὸν ἰσημερινὸν κλίματι, τὰ μὲν ἡμίσεια τμήματα ὑπὲρ γῆς, τὰ δὲ ἡμίσεια ὑπὸ γῆς ἐστίν. ἐκεῖθεν δ' ἐνταῦθα ἀφικνουμένων, ὥσπερ ὁ πόλος ἐξαίρεται, καὶ ὁ κόσμος ἐγκλίνεται, οὕτω καὶ οἱ κύκλοι οὐκέτι τὴν αὐτὴν σχέσιν διατηροῦσιν, ἀλλὰ τοῦ μὲν ἰσημερινοῦ μεγίστου ὄντος,

καὶ

iuxta proportionem maiores euadunt, quo fuerit à polis maior diſtantia. Qui porrò ab æquinoctiali ad polos habita ratione diſtantiæ, minores. Cum igitur & maximi, & minimorum, & mediorum orbium hæc ita habeant, in climate, quod ſub æquinoctiali, dimidiata climata ſupra terram, & dimidiata ſub terra ſunt. Illinc huc itinere contendenti, ut polus attollitur, & mundus inclinatur, ita ne quidem orbes eandem cuſtodiunt habitudinem. Cæterum cum ſit æquinoctialis maximus,

&

καὶ εἰς δύο ἴσα τέμνων τὸν κόσμον, μένει ἀκριβῶς τὸ ἥμισυ ὑπὲρ γῆς, καὶ τὸ ἥμισυ ὑπὸ γῆς. πᾶς γὰρ κύκλος εἰς δύο ἴσα τέμνων τὸν κόσμον, ἢ ὁρίζων ἐστὶν, ἢ εἰς δύο ἴσα ὑπὸ τοῦ ὁρίζοντος διαιρεῖται. ὡς τὸ μὲν ἥμισυ ἔχειν ὑπὲρ γῆς φαινόμενον ἀεὶ, τὸ δὲ ἥμισυ κεκρυμμένον. ὥστε καὶ ὁ ἰσημερινὸς μέγιστος ὢν, μένει τὴν αὐτὴν σχέσιν διαφυλάττων καὶ ἐν ταῖς εὐκράτοις. οἱ δὲ ἀπ' αὐτοῦ πρὸς τοὺς πόλους ἰόντες κύκλοι, οὐκέτι. ἀλλ' ὁπόσοι μὲν αὐτῶν ὡς πρὸς τὸν βόρειον ἴασι πόλον,

τούτῳ

& in duas partes mundum æquè diſpeſcat, manet ad unguem dimidium ſupra terram. Omnis ſiquidem orbis diuiduè dirimens mundum, aut horizon nempe finiens eſt, aut æquè ab horizonte diuiditur, ut ſupra terram dimidium ſemper appareat, & dimidium occultetur. Quare cum ſit maximus æquinoctialis, eandem ſeruat habitudinem etiam inter temperatas. At ab ipſo ad polos euntibus, orbes neutiquam tales, ſed ipſorum quotcunque, quo magis ad polum ieris ſeptentrionalem,

eò

τούτου τὰ μείζονα τμήματα ὑπὲρ γῆς γίνεται ἀναγκαίως, τούτων ὑψηλοτέρων ὄντων ἐν τῇ ἡμετέρᾳ εὐκράτῳ, τὰ δὲ ἐλάττονα ὑπὸ γῆς. ὁπόσοι δὲ ὡς πρὸς τὸν νότον, ἔμπαλιν τὰ μὲν μείζονα ὑπὸ γῆς ἔχουσι τῶν τμημάτων, τὰ δὲ ἐλάττονα ὑπὲρ γῆς. ὅπου γε καὶ ὅλον τὸν ἀνταρκτικὸν κεκρυμμένον ὁμοίως, καὶ τῶν Βορείων τὸν ἀρκτικὸν ἐχόντων ἀειφανῆ, καὶ κατὰ μὲν τὴν ἡμετέραν εὔκρατον ἀντεστραμμένως. τὰ γὰρ ἡμῖν ταπεινὰ, ἐκείνοις ὑψηλὰ γίνεται. καὶ ἔμπαλιν.

eo maiora ſupra terram ſegmenta fiant neceſſe eſt. horum ſublimiorum in noſtra temperata minora ſub terra ſunt ſegmẽta. Quotcunque uerò ad auſtrum, è contrario, maiora ſub terra ſegmenta habent, ut minora ſupra terram, ubi ſimiliter totus arcticus occultatur, ut ſeptentrionem habitantibus apparet perpetuus, & perinde in noſtro temperato climate ita habet. Contrà uerò, in eregione poſito nobis temperato climate. Nam quæ humilia nobis, illis ſunt ſublimia: & contrà,

ὡς ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια τοῦ κόσμου ἐκείνοις ἐγκεκλιμένου. ἀπὸ μὲν τῶν ὑπὸ τὸν ἰσημερινὸν ἐκεῖ πορευομένων, ὁ μὲν βόρειος πόλος ἀφανὴς γίνεται, ὁ δὲ νότιος ἐξαίρεται. καὶ οὕτως τὰ ἐκείνοις ὑψηλὰ, ἡμῖν ταπεινὰ γίνεται. καὶ ἔμπαλιν. ὥστε καὶ ὁ ἀρκτικὸς αὐτοῖς κεκρύπται κύκλος, ὁ δὲ ἐναντίος ἴσον ἐξῆρται. τούτων δὲ οὕτως ἐχόντων, ὁ ἥλιος ἀπὸ τροπῶν ἐπὶ τροπὰς, τὴν διὰ τοῦ ζῳδιακοῦ πορείαν ποιούμενος, φανερὸν ὡς ἐφάπτεται τῶν κύκλων πάντων, οἳ μεταξὺ τῶν τροπικῶν εἰσίν. ὁπόταν μὲν οὖν ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια ἰὼν, τοῦ χειμε-

ut ab auſtralibus ad mundi ſeptentrionalia proceſſeris, illis inclinati. Nam ab æquinoctiali eò iter facientibus, ſeptentrionalis polus occultatur, auſtralis autem attollitur. Et perinde quæ ſunt illis ſublimia, nobis humilia: & contrà. Itaque etiam arcticus ipſis orbis occultatur, ut contrarius attollitur. Cum hæc ita habeant, ſol à ſolſtitijs ad ſolſtitia per ſigniferum contendens, manifeſtò omnes continget circulos, qui ſunt inter tropicos. Cum ergo à ſeptentrione in auſtrum iens, hyber-

χειμερινοῦ τροπικοῦ ἐφάψηται, βραχυτάτην ἡμῖν τὴν ἡμέραν ποιεῖ. ὁ γὰρ κύκλος οὗτος, πάντων ὧν ψαύει ὁ ἥλιος, ὑπὸ γῆς μὲν μέγιστον ἔχει τμῆμα, ἐλάχιστον δὲ ὑπὲρ γῆς. καὶ οὕτως, τὴν μὲν ἡμέραν ἐλαχίστην, μεγίστην δὲ τὴν νύκτα ποιεῖ ἀναγκαίως ἐν τῇ ἡμετέρᾳ συγκράτῳ. ὁπόταν δὲ ἐφαψάμενος τοῦ χειμερινοῦ, πάλιν ὑποστρέφῃ πρὸς ἡμᾶς ἐπὶ τὰ ὑψηλότερα τοῦ κόσμου ἀνατρέχων, ἀεὶ κύκλοις ἐντυγχάνει, μείζονα τοῦ χειμερινοῦ τμήματα ὑπὲρ γῆς ἔχουσιν. καὶ οὕτως ἐκ τοῦ πρὸς λόγον, αὐξομένην παρέχεται τὴν ἡμέραν, μέχρι

hybernum tropicum contigerit, breuiſsimum nobis conficit diem. Is nanque orbis omnium quos ſol attingit, ſub terra maximum ſegmentum habet, ut minimum ſupra terram, & perinde nobis noctem tum maximam, & diem breuiſsimum faciat neceſſe eſt. Cum uerò hybernum contigerit, ad nos ſe conuertit, ad mundi ſublimiora recurrens, orbibus ſemper contingit maius hyberno ſegmento habere ſuper terram. Atque ita habita ſegmentorum ratione dies capit incrementum, ad

μέχρι μὲν τῆς πρὸς τὸν ἰσημερινὸν πορείας, ἔτι μικροτέραν τῆς νυκτὸς διαμένουσαν. ἐπὰν δὲ τοῦ ἰσημερινοῦ ἐφάψηται, ἐφ' οὗ ἴσον τὸ ὑπὲρ γῆς καὶ ὑπὸ γῆς μέρος, ἰσημερίαν ἐποίησε. καὶ λοιπὸν, ἐντεῦθεν ἐπὶ τὸν θερινὸν ἀνατρέχων, ἐπεὶ κύκλοις ἐντυγχάνει, μείζονα τὰ ὑπὲρ γῆς ἔχουσι τμήματα, μείζονας ἀναγκαίως καὶ τὰς ἡμέρας παρέχεται τῶν νυκτῶν. διὰ τοιαύτης αὐξήσεως προϊούσης, μέχρις ἂν παραλάβῃ τὸν θερινὸν κύκλον (ὃς μέγιστον ὑπὲρ γῆς καθ' ἡμᾶς ἔχει τμῆμα πάντων, ὧν ἐφάπτεται κύκλων ὁ ἥλιος) καὶ διὰ

ad æquinoctium uſque, nocte facta breuiore. Cum uerò æquinoctialem contigerit, ſub quo æquale ſub terra, ei quod ſupra terram ſegmentum, æquinoctium facit. & hinc reliquum quod ſupereſt ad æſtiuum recurrens, quotquot orbes aſſequetur, maiora ſupra terram ſegmenta habentes, longiores noctibus dies faciat neceſſe eſt. hoc procedente augmento, quo ad æſtiuum orbem contigerit, qui maximum ſupra terram apud nos ſegmentum habet, omnium quos ſol attingit, & ob

ται ἀπὸ τῆς ἐν τῇ θερινῇ τροπῇ ἡμέραν μεγίστην παρέχεται. ἐντεῦθεν δὲ ὡς ἐπὶ τὰ νότια καλῶν, ἐλάττονα τῶ θερινοῦ ὑπὲρ γῆς τμήματα, ἐκ τοῦ πρὸς λόγον ἔχουσιν ἐντυγχάνων, μειουμένην παρέχεται τὴν ἡμέραν, μείζονα μὲν τὰ τῆς νυκτὸς, μέχρι πελάσει τῷ ἰσημερινῷ διαμένουσαν. ἐπὰν δὲ τούτου ἐφαψάμενος, φθινοπωρινὴν ἰσημερίαν ποιήσῃ, εὐθέως διελθὼν αὐτὸν, ἐφάπτεται κύκλων, οἳ ἐλάττονα τὰ ὑπὲρ γῆς τμήματα ἔχουσι. καὶ οὕτως ἀπὸ φθινοπωρινῆς ἰσημερίας, μείζους αἱ νύκτες τῶν ἡμερῶν γίνονται. καὶ μένει μὲν ἡ ἡμέρα

ob hoc in æſtiuo ſolſtitio diem efficit longiſſimam. Hinc porrò ad auſtralia curſu contendens, minora ſolſtitiali æſtiuo ſupra terram ſegmenta facit, ex habita ratione diminuti diei, noctis maiora ſpacia facit, ad æquinoctialem uſque, ad quem cum applicuerit, æquinoctium facit autumnale. Confeſtim ipſum tranſeũdo orbes attingit, qui minora ſupra terram habent climata, atque ita ab æquinoctio autumnali longiores fiunt diebus noctes, manet'que diei

μειουμένη, μέχρι πελάσει τῷ χειμερινῷ. ἡ δὲ νὺξ παρὰ ἡμέρας μένει μείζων, μέχρις ὅτου ἐπὶ τὴν ἀπὸ τοῦ χειμερινοῦ τροπὴν αὐξανομένην, ἀπὸ δὲ ἀπὸ τούτου ὑποστροφῆς, ἐρχόμενος τὴν ἡμέραν πελάσῃ τῷ ἰσημερινῷ, καὶ ἰσημερίαν ἐαρινὴν ποιήσῃ. οὕτω δὲ τῶν περὶ τοὺς προειρημένους κύκλους ἐχόντων, ἐπεὶ οἱ ἡμῖν αὐτῶν τῶν κύκλων ταπεινοὶ τοῖς ἔχουσιν τὸ ἀντεύκρατον, ὑψηλοὶ δ᾽ ἠερμένοι γίνονται, καὶ ἔμπαλιν. οὕτω καὶ ὁ ἡμέτερος θερινὸς κύκλος, ἐκείνοις χειμερινὸς γίνεται, ἐλάχιστον ἔχων ὑπὲρ γῆς τμῆμα. ὁ δὲ ἐκείνων θερινὸς,

comminutio, quoad hybernum attigerit ſolſtitium. Nox uerò ſupra diem capit incrementum, quæ ab hac conuerſione comminuitur. quoad æquinoctialem attigerit, uernumq; fecerit æquinoctium. Cum hæc iuxta memoratos orbes ita habeant, qui humiles nobis orbes, habentibus e regione temperatum clima, ſublimes, & ſublati euadunt contrà. Ita qui nobis æſtiuus eſt orbis, illis hybernus.

Et

θέρινος, ἡμῖν χειμερινὸς γίνεται. καὶ αὕτη ἐστὶν ἡ αἰτία, τοῦ ἀντεστράφθαι τὰ περὶ τὰς ὥρας καὶ αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν τε καὶ νυκτῶν ἐν τῇ διακεκαυμένῃ, οὐδενὸς τοιούτου γινομένου, ἀλλὰ διὰ παντὸς ἰσημερίας οὔσης, ἐπεὶ πάντων τῶν παραλλήλων ἴσα μέρη καὶ ὑπὲρ γῆς καὶ ὑπὸ γῆς ἐστί. διὰ δὲ τοῦ προαιρετικὴν κίνησιν ποιούμενος ὁ ἥλιος, καὶ ἄλλοτε ἄλλα μέρη αὐτοῦ καταλαμβάνων, καὶ οὕτω τὰς ὥρας ἐπιτελῶν, τροπὴν μὲν ἐαρινὴν ποιεῖ, ὅταν ἔγγυστα τῆς οἰκήσεως ἡμῶν γινόμενος, Βορειό-

Et ea eſt cauſa cur ex altera parte ſibi correſpondeant tẽpora anni, & augmenta, & diminutiones dierũ in regionibus temperatis, in totumq; uniuerſalis augmẽti & diminutionis dierũ noctiumq; cum in torrida horũ nihil ſit, ſed omnino æquinoctiũ. Quandoquidẽ parallelorum æquæ partes ſupra terram, & ſub terra ſunt. Per ſigniferũ enim delectum ſol efficiẽs motum, et alio tẽpore alias pmeãs partes, anni tẽpora cõplendo æſtiuũ qdẽ ſolſtitiũ facit, cũ proxime ad nos peruenerit, maxi-

βορειότατον γράψῃ κύκλον, καὶ μεγίστην ἡμέραν ποιήσῃ, ἐλαχίστην δὲ νύκτα. τροπὴν δὲ χειμερινὴν ποιεῖ, ὅταν πορρωτάτω τῆς οἰκήσεως ἡμῶν γινόμενος, καὶ ταπεινότατος, ὡς πρὸς τὸν ὁρίζοντα νοτιώτατον γράψῃ κύκλον. μεγίστην μὲν τὴν ἐν τῷ ἐνιαυτῷ νύκτα ποιῶν, ἡμέραν δὲ ἐλαχίστην. ἰσημερίαν δ᾽ ἐαρινὴν ποιεῖ, ὁπόταν ἀπὸ χειμερινῶν τροπῶν ἐπὶ τὰ βόρεια καὶ τὸν θερινὸν τροπικὸν ἰὼν, καὶ μέσος ἀμφοῖν κατὰ τὴν πορείαν γινόμενος, εἰς δύο ἴσα διαιροῦντι τὸν κόσμον, γράψῃ κύκλον, καὶ

maximè ſeptentrionalem deſcribendo circulum, & longiſsimum diem faciendo, ut breuiſsimam noctē. Solſtitium uerò hybernum facit, cum longiſsimè à noſtro climate abierit, fueritq; humillimus ferè ad horizontē, maximè auſtralē orbem deſcribendo, longiſsimā anni noctem faciēdo, ut breuiſsimū diem. Aequinoctium autem uernum facit, cum ab hybernis conuerſionibus ad ſeptentrionē & æſtiuum tropicum iens, medius inter utrunque iter faciendo, in duo æqualia mundum diſpeſcēs, circulum deſcripſerit, diem

καὶ οὕτως ἴσην ἡμέραν τῇ νυκτὶ ποιήσῃ. φθινοπωρινὴν δὲ ἰσημερίαν ποιεῖ, ὁπόταν ἀπὸ θερινοῦ τροπικοῦ ἐπὶ τὰ νότια, καὶ τὸν χειμερινὸν τροπικὸν ὑποστρέφων, καὶ μεσαίτατος ὁμοίως ἀμφοῖν γενόμενος, τὸν αὐτὸν ἰσημερινὸν γράψῃ κύκλον. αὐξανομένας δὲ παρέχεται τὰς ἡμέρας, ἀπὸ χειμερινοῦ τροπικοῦ ἐπὶ τὰ βόρεια τοῦ κόσμου ὑποστρέφων. μειουμένας δὲ, ἐκ τῶν ἐναντίων ἀπὸ θερινοῦ τροπικοῦ ἐπὶ τὰ νότια κατιὼν, καὶ τὸν χειμερινὸν τροπικόν.

Περὶ

diem nocti æqualem faciendo. Autumnale autem æquinoctium facit, cum ab æſtiuo tropico in auſtrum, & ad hybernum tropicum ſe conuerterit, medioxumus itidem inter extimos limites eundem æquinoctialem circulum deſcripſerit. Auctos autem exhibet dies, ab hyberno tropico ad ſeptẽtrionales mundi partes ſcandens: minutas è contrario, ab æſtiuo tropico in auſtrũ tendens, atque hybernum tropicum.

Περὶ τῆς αὐξήσεως τῶν ἡμερῶν.

Αἱ δὲ αὐξήσεις τῶν ἡμερῶν καὶ νυκτῶν οὐ τὸ ἴσον ἑκάστης ἡμέρας προστιθέασι, καὶ ὑφαιροῦσι, ἀλλ' ὁπότε ἀρχὴν τοῦ αὐξάνεσθαι ἡ ἡμέρα λαμβάνοι, κατὰ μὲν πρῶτον μῆνα δωδέκατον αὔξεται τῆς ὅλης ὑπεροχῆς, ᾗ ὑπερέχει ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν. κατὰ δὲ δεύτερον, ἕκτον. τῷ δὲ τρίτῳ, τέταρτον. κατὰ δὲ τέταρτον, ὁμοίως τέταρτον. κατὰ δὲ πέμπτον, ἕκτον. κατὰ δὲ ἕκτον, δωδέκατον. ὥστε, εἰ ὥρας ἓξ ὑπερέχει ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν, κατὰ μὲν πρῶτον μῆνα, ἡμιώριον

προσ-

De augmento dierum.

Augmenta dierum et noctium neutiquam ſingulis diebus æquè addunt & ſubtrahunt, ſed cum principiũ incrementi dies acceperit, primo quidem menſe totius exceſſus duodecima augetur parte, qua maximus minimum diem ſuperat: ſecundo autem ſexta, ut tertio quarta, & quarto ſimiliter quarta, & quinto ſexta, & ſexto duodecima. Proinde ſi ſex horis maximus excedit diem minimum, primo quidem menſe dimidia hora

προστεθήσεται τῇ ἡμέρᾳ. τῷ δὲ δευτέρῳ, ὥρα. τῷ δὲ τρίτῳ ὥρα καὶ ἥμισυ. ὡς πρὸς τὸ τριμήνῳ, τριῶν ὡρῶν γίνεσθαι τὴν προσθήκην. καὶ τῷ τετάρτῳ, ὁμοίως ὥρα καὶ ἥμισυ προστεθήσεται. τῷ πέμπτῳ, ὥρα. τῷ ἐσχάτῳ, ἡμιώριον. καὶ οὕτως ἀναπληρωθήσονται αἱ ὧραι, καθ' ἃς ὑπερέχει ἡ μεγίστη τὴν ἐλαχίστην ἡμέραν. ἡ δὲ αἰτία τοῦ μὴ ἴσας γίνεσθαι τὰς προσθήκας, τοιάδε. ὁ ζωδιακὸς κύκλος, δι' οὗ τὴν πορείαν ποιεῖται ὁ ἥλιος, λοξὸς ὢν, καὶ τέμνων τὸν ἰσημερινὸν κατὰ δύο σημεῖα, τῶν δὲ τροπικῶν ἑκατέρου καθ' ἓν σημεῖον ψαύων, τὸν μὲν ἰσημερινόν,

diei additur, ſecundo autem hora, tertio hora & dimidium, ut trimeſtri trium horarum fiat additio. Et quarto ſimiliter hora & dimidium adijcietur, quinto hora, ultimo hemihorium. Atq; ita ſex horæ complẽtur, quibus excedit maximus diem minimũ. Cauſa uerò inæqualitatis incrementi hæc eſt. Signifer orbis, per quem iter facit ſol, cum ſit obliquus, & æquinoctialem in duobus ſecet punctis, utrunq; tropicorũ uno in puncto attingat, æquinoctialem quidem,

καὶ τοὺς πλησίον αὐτοῦ παραλλήλους, ὀρθοτέρως τέμνει, καὶ ὀλίγου δεῖν πρὸς ὀρθὰς γωνίας. τοῖς δὲ τροπικοῖς, πλαγιώτερος, καὶ ἔτι πλέον ἐγκεκλιμένος παράκειται. καὶ οὕτως ὀξείας ποιῶν τὰς γωνίας, αἴτιος γίνεται τοῦ σχολαιότερον αὐτοῖς καὶ προσιέναι καὶ ἀφίστασθαι. διὰ γὰρ τοῦ ζωδιακοῦ πολλὴν τὴν πορείαν ποιούμενος, σχολαιότερον ἀφίσταται τῶν τροπικῶν. κατὰ δὲ τὸν ἰσημερινὸν ὀρθοτέρου αὐτοῦ ὄντος, ἀθρουστέρας καὶ τὰς προσόδους τὰς πρὸς αὐτὸν, καὶ τὰς ἀπ' αὐτοῦ χωρήσεις ποιεῖται, δαιμονίως τῆς προνοίας, τοιαύτην τὴν σχέσιν τοῦ ζωδιακοῦ πρὸς τοὺς

& proximos parallelos rectior ſecat, & parum deeſt ad rectos angulos, ſed in tropicis obliquior, & magis inclinatus progreditur. Et perinde acutos faciendo angulos, cauſa fit, cur obliquior ipſis procedendo & inſiſtendo. Per ſigniferum nanque longum iter faciendo, obliquior abſcedit à tropicis: in æquinoctiali uerò cum ſit erectior, feſtinantiores etiam acceſſus ad ipſum, & ab ipſo receſſus facit, diuina prouidentia talem ſigniferi affectionem ad

τροπικοὺς ἐργασαμένης, ὑπὲρ τοῦ λεληθέναι, ἀλλὰ μὴ ἀθρόας γίνεσθαι τὰς τῶν ὡρῶν μεταβολάς. οὐδὲ οἱ μεταξύ τε τῶν τροπικῶν καὶ ἰσημερινοῦ χρόνοι ἴσοι εἰσίν. ἀπὸ γὰρ ἐαρινῆς ἰσημερίας, μέχρι θερινῶν τροπῶν, ἡμέραι εἰσὶν ϛ δ ∠. ἀπὸ δὲ θερινῆς τροπῆς, μέχρι φθινοπωρινῆς ἰσημερίας, ἡμέραι ϛ β ∠. ἀπὸ δὲ ταύτης τῆς ἰσημερίας, ἄχρι χειμερινῆς τροπῆς, ἡμέραι π η. ἀπὸ δὲ χειμερινῆς τροπῆς ἐπὶ ἐαρινὴν ἰσημερίαν, ϛ δ θ. ἐπιζητεῖται οὖν, πῶς ἴσων ὄντων τῶν τοῦ ζωδιακοῦ τεταρτημορίων,

οὐκ ἐν

tropicos efficiente, ſenſim faciendo, non aceruatim horarum mutationes, neq; quæ tempora inter tropicos & æquinoctia æqualia ſunt. À uerno enim æquinoctio ad æſtiuos uſq; tropicos dies ſunt nonaginta unus & dimidius, ab æſtiua conuerſione ad autumnale uſq; æquinoctium dies nonaginta tres & dimidius, ab hoc æquinoctio ad ſolſtitium uſque hybernũ dies octoginta octo, ab hyberno ſolſtitio ad æquinoctium uernum nonaginta quatuor. Sciſcitabitur quiſpiam cum ſint æquales ſigniferi partes quartæ,

cur

οὐκ ἐν ἴσῳ χρόνῳ αὐτὰ ὁ ἥλιος διέξεισι. ῥητέον οὖν, εἰ διὰ αὐτοῦ τοῦ ζῳδιακοῦ τὴν πορείαν ὁ ἥλιος ἐποιεῖτο, ἐν ἴσῳ χρόνῳ πάντα τὰ μέρη αὐτοῦ διῄει. νυνὶ δὲ ὑπόκειται ὁ ἡλιακὸς κύκλος τῷ μέσῳ τοῦ ζῳδιακοῦ, πολὺ προσγειότερος ὢν αὐτοῦ. ἀλλὰ ἂν ὑποκείμενος ὁ ἡλιακὸς τῷ ζῳδιακῷ, τὸ αὐτὸ εἶχε κέντρον, καὶ ἐν ἴσῳ χρόνῳ τὰ τέσσαρα μέρη τοῦ κύκλου τοῦ οἰκείου διῄει. αἱ γὰρ ἀπὸ τῶν τροπικῶν τε καὶ ἰσημερινῶν γινόμεναι διάμετροι, εἰς ἴσα ἔτεμνον ἂν τέσσαρα, καὶ τὸν ἡλιακὸν κύκλον. νυνὶ δὲ οὐ τὸ αὐτὸ τὸ κέντρον ἔχειν αὐτοὺς συμβέβηκεν, ἀλλ' ἔκκεντρος

cur ſol ipſas tempore permeat inæquali. Cui occurrendum, quòd ſi per ipſum ſigniferum ſol iter faceret tempore æquali, cũctas eius partes permearet: ſed orbis ſolaris medii parte ſigniferi multo terræ uicinior eſt. Cæterum & ſi ſubiectus ſolaris ſignifero idẽ cum ipſo haberet centrum, & ueluti in tẽpore æquali quatuor partes ſui orbis ſol permearet. Nam à tropicis & æquinoctiali ductæ diametri in partes æquales, dirimerent etiam ſolarem orbem. Nunc non idem centrum ipſos habere contingit, ſed eccentrus

κεντρός ἐστιν ὁ ἡλιακὸς κύκλος. καὶ διὰ τοῦτο οὐ τέμνει εἰς τέσσαρα ἴσα ὑπὸ τῶν εἰρημένων διαμέτρων, ἀλλὰ εἰσὶν ἄνισοι αὐτοῦ αἱ περιφέρειαι. μόνοι γὰρ οἱ τοῖς αὐτοῖς κέντροις κεχρημένοι κύκλοι εἰς ἴσα ἔχουσι τεμνομένας τὰς περιφερείας ὑπὸ τῶν διαμέτρων. οἱ δὲ ἔκκεντροι, οὐκέτι. ἔκκεντρος οὖν ὢν ὁ ἡλιακὸς κύκλος, ἂν εἰς δώδεκα διαιρεθῇ παραπλησίως τῷ ζωδιακῷ, ἴσοις τμήμασιν οὖσι τοῦ ζωδιακοῦ, ἄνισα τμήματα ὑποκείσεται τοῦ ἡλιακοῦ. καὶ μέγιστον μὲν ἔσται αὐτοῦ τμῆμα, τὸ ὑποκείμενον τοῖς διδύμοις. ἐλάχιστον δέ,

centrus eſt ſolaris orbis, & ob hoc nõ ſecatur in quatuor partes æquales ab iam dictis diametris, uerùm ſunt inæquales ipſius circumferentiæ. Nanq; ſoli qui eiſdem centris inſtituti orbes, in partes æquales ſectas habẽt ex diametris circũferentias: at qui ſunt eccẽtri, nequaq̃. Cum ergo ſolaris circulus ſit eccentrus, ſolari circulo in duodecim diuiſo partes, æquè ac ſignifero, cũ ſint ſigniferi ſectiones æquales, inæqualia ſegmẽta ſolaris circuli ponũtur: et ipſius maximũ quidẽ erit ſegmentũ, geminis ſubiectum : minimum autem,

δὲ, τὸ κατὰ τοξότην. ὅθεν τοῦτο μὲν, ἐλαχίστῳ διέρχεται χρόνῳ. τὸ δὲ διδύμους, ἐν μηκίστῳ. ἐν ταῦθα μὲν ὑψηλότατος ὤν, ἐν δὲ τῷ τοξότῃ προσγειότατος, ἐν δὲ τοῖς ἄλλοις ἀναλόγως. ὅθεν καὶ τὸν κύκλον αὐτοῦ ἔκκεντρον εἶναι συμβέβηκεν, οὐ κατὰ τὸ αὐτὸ ὕψος ἀεὶ κινουμένου, ἀλλὰ ὑψουμένου κατὰ τὴν πορείαν. καὶ ἔμπαλιν, ἐπὶ τὰ προσγειότατα φερομένου. οὐ δὲ τὰ νυχθήμερα δὲ πάντα, λόγῳ ἀκριβῆ, ἴσα ἐστὶν ἀλλήλοις, ὡς ὑπονοεῖται, ἀλλὰ μόνον πρὸς αἴσθησιν. ἡ μὲν γὰρ αὐτοῦ τοῦ κόσμου περιφο-

autem, ſagittario. Quam obrem id etiam ſegmentum minimo tempore permeat, geminis uerò longiſsimo. Ibi enim eſt altiſsimus, at in ſagittario terræ proximus, & in alijs porrò iuxta proportionem. Inde eius orbem eccentrum eſſe contingit, quia non in eodem ſemper mouetur faſtigio, ſed tam ſublimis itinere, quàm rurſus terræ proximus. Et ne quidem dies cum noctibus, quos naturales quidam uocant, ad libellam inter ſe inuicem ſunt æquales, ut intelligitur, ſed ſolo ſenſu æquales eſſe cenſentur. Nam mundi conuer-

περιφορὰ, μείων μὲν παντὸς νυχθημέρου ἀναγκαίως, παντὶ γὰρ δρόμῳ τοῦ κόσμου θᾶττον τοῦ νυχθημερινοῦ διαστήματος τὸν ἑαυτοῦ κύκλον διεξάγοντος, ὃν τὴν ἐναντίαν τῷ κόσμῳ ἰὼν ὁ ἥλιος πρόεισιν. ἐκπεριελθόντος γὰρ τοῦ κόσμου οὐδὲ τὸ αὐτὸ σημεῖον, οὔπω οὐδὲ τῇ ἀνατολῇ ὁ ἥλιος θεωρεῖται, ἀλλ᾽ ὁπόταν ἡ περιφορὰ τοῦ κύκλου συνεχθῇ, ἣν διήνυσε μετὰ τῆς προαιρετικῆς κινήσεως ὁ ἥλιος παρὰ νυχθημερινῷ, τότε καὶ αὐτὸς ἐπὶ τῇ ἀνατολῇ φαίνεται. εἰ μὲν τὰ δωδεκατημόρια τοῦ ζῳδιακοῦ, ἴσα ὄντα, ἐν ἴσῳ καὶ ἀνέτελλε χρόνῳ, συνέβαι-

conuerſio minor eſt neceſſario, quàm omnis cum nocte dies in quouis procurſu, mundo citius diurno cum nocte interuallo, ſuum ambitum peragente, quem ſol contra mundi motum facit. Circumeunte enim idem punctum mundo, necdum ſol in oriente ſpectatur, ſed cum ambitus orbis circumactus fuerit, quem perficiebat die, cum nocte, ſol motu delecto, tum ipſe quoque in oriente apparet. Quod ſi cuncta dodecatemoria, nempe ſigna ſigniferi ſint æqualia, tempore etiam æquali oriri contigiſſet, diesq;

συνέβαινεν ἂν καὶ τὰ νυχθήμερα πάντα ἴσα εἶναι. νυνὶ δὲ τὰ μὲν θερινὰ ζώδια, ὀρθὰ μὲν ἀναφέρεται, λοξὰ δὲ καταδύεται. καὶ ὀρθίοις ἀναφερομένοις αὐτοῖς, μακρότερος ὁ τῆς ἀναβολῆς αὐτῶν γίνεται χρόνος. καὶ τὰ μέρη οὖν αὐτῶν, ἃ περ νυχθημέρῳ διέρχεται ὁ ἥλιος, ἀναλόγως βραδίονα τὴν ἀνατολὴν ποιεῖται. τὸ δ' ἔμπαλιν τούτων, ἐπὶ τῶν χειμερινῶν γίνεται ζωδίων. καὶ οὕτως αἱ μὲν τοῦ αἰθέρος περιστροφαὶ, ἴσαι εἰσίν. τὰ δὲ νυχθήμερα, οὐκ ἔτι. πρός γε τὸν ἀληθέστατον λογον, χολαιότερον, καθάπερ ἔφαμεν, τοῦ ἡλίου

πορείον.

dies'que cum noctibus eſſent æquales. Nunc uerò tropica ſigna recta quidē aſcendunt, ſed obliqua occidunt: rectiſ'que ſcandentibus ipſis, longius tempus ipſorum ortus fiat neceſſe eſt. Cum partes igitur ipſorum ſol die cum nocte permeat, iuxta proportionem ortum tardiorem facit. Horum euenit contrarium in ſignis hybernis, & perinde ætheris conuerſiones ſunt æquales, dies autem cum noctibus nequaquam, ſi ad libellam examen quæras, obliquius, (ut diximus) ſole

ad

προσιόντος τοῖς τροπικοῖς, καὶ ἀποχωροῦντος, καὶ διὰ τοῦτο τὸν πλείονα περὶ αὐτοὺς ἐγχρονίζοντος. καὶ οὐκ ὄντων οἰκητῶν τῶν ὑπ' αὐτοῖς, οὐδὲ τῶν ἔτι ἐνδοτέρω. ἡ γὰρ συήνη ὑπὸ τῷ θερινῷ κεῖται κύκλῳ, ἡ δὲ αἰθιοπία ἐνδοτέρω ἔτι ταύτης. ἀφ' ὧν ὁ ποσειδώνιος τὸ ἐνδόσιμον λαβών, ὅτι πᾶν τὸ ὑπὸ τὸν ἰσημερινὸν κλίμα εὔκρατον εἶναι ὑπέλαβε. καὶ πέντε ζώνας εἶναι τῆς γῆς τῶν ἐνδοξοτάτων φυσικῶν ἀποφηναμένων, αὐτὸς τὴν ὑπ' ἐκείνων διακεκαυμένην λεγομένην, οἰκουμένην καὶ εὔκρατον εἶναι ἀπεφήνατο.

ad tropicos accedente & abeunte, & ob hoc diutius circa ipſos commorante. Cumque ſub ipſis (inquiunt) non ſit habitatio, ne quidem aliquanto intra ipſos. Syene tamen ſub æſtiuo iacet circulo, Aethiopia uero Syene adhuc interior: à quibus Poſidonius opinatus eſt totum ſub æquinoctiali clima eſſe temperatum. necnon quinque zonæ terræ eſſe à nobilibus pronunciatæ ſunt Phyſicis. Poſidonius quem terrarum orbem torridum æſtum nominarunt, temperatum eſſe promulgauit.

ὅπου γάρ φησι, πλέον τοῦ ἡλίου περὶ τοὺς τροπικοὺς διατρίβοντος, οὐκ εἰσὶν ἀοίκητα τὰ ἐπ' αὐτοῖς, οὐδὲ τὰ ὑπ' αὐτῶν ἐντὸς, πῶς οὐκ ἂν πολὺ πλέον τὰ ὑπὸ τὸν ἰσημερινὸν εὔκρατα εἴη, ταχέως τοῦ κύκλου τούτου καὶ προσιόντος τοῦ ἡλίου, καὶ πάλιν ἴσου τάχει ἀφισταμένου αὐτοῦ, καὶ μὴ ἐγχρονίζοντος περὶ τὸ κλίμα; καὶ μὴν διὰ παντός, φησιν, ἴσης τῆς νυκτὸς τῇ ἡμέρᾳ οὔσης ἐνταῦθα, καὶ διὰ τοῦτο σύμμετρον ἐχούσης πρὸς ἀνάψυξιν τὸ διάστημα, καὶ τοῦ ἀέρος τούτου ἐν τῷ μεσαιτάτῳ καὶ βαθυτάτου τοῦ σκιᾶς ὄντος, καὶ ὄμβροι γενήσονται, καὶ πνεύματα γενήσονται,

Nam ubi, inquit, circa tropicos ſol diutius uerſatur, neutiq̃ ea ſunt inhabitata loca, nec eis interiora, cur nō multo magis ſub æquinoctiali fuerint temperata, cum celerius hunc orbem ſol tranſeat, & rurſus æquè celeriter adeat, nec in eo climate diutius cōmoretur? Enimuerò cum in totum, inquit, ſit nox diei æqualis ſub æquinoctiali, & perinde refrigerādi ſpacium ſatis amplum habeat, ſitq; eius aër in medioxumo, & umbræ terræ faſtigioſiſsimo, etiam imbres cadent, & ſufflabunt uenti,

δύνασθαι ἀναψύχειν τὸν ἀέρα. ἐπεὶ καὶ περὶ τὴν αἰθιοπίαν ὄμβρους συνεχεῖς καταφέρεσθαι ἱστοροῦσι, περὶ τὸ θέρος, καὶ μάλιστα τὴν ἀκμὴν αὐτοῦ. ἀφ' ὧν καὶ ὁ νεῖλος πληθύνειν ὑπονοεῖται τοῦ θέρους. ὁ μὲν οὖν ποσειδώνιος οὕτω φέρεται. καὶ δεήσει, ἂν οὕτως ἔχῃ τὰ ὑπὸ τὸν ἰσημερινὸν, δὶς τοῦ ἔτους γίνεσθαι τὰς ὥρας παρ' αὐτοῖς. ἐπειδὴ καὶ ὁ ἥλιος δὶς αὐτοῖς κατὰ κορυφὴν γίνεται, δύο γε ἰσημερίας ποιῶν. οἱ δὲ ἀντιλέγοντες τῇ δόξῃ ταύτῃ τοῦ ποσειδωνίου, φασὶν, ὅτι ἕνεκα μὲν τοῦ ὧδε πλέον πρὸς τοῖς τροπικοῖς διατρίβειν τὸν ἥλιον,

ut poßint aëra refrigerare. Quia in Aethiopia imbres enarrantur per æſtatem iuges pluere, præcipuè in ipſius articulo: unde etiam Nilus per æſtatem inundare intelligitur. Poſidonius igitur ita cenſuit. Oportuit ſanè ita ſub æquinoctiali habere, quòd bis anni ſint apud eos tempora, quandoquidem etiam ſol bis illis fit à uertice, bina faciendo æquinoctia.

Qui autem Poſidonij aduerſantur ſententiæ, aiunt, quia diutius ad tropicos uerſatur ſol,

ἔδει ὑγιῆ τὴν περὶ τούτου δόξαν εἶναι τὴν Ποσειδωνίου. ἀλλὰ ἀπὸ μὲν τῶν τροπικῶν πάλιν ὁ ἥλιος ἀφίσταται. καὶ οὕτως ὁ ὑπ' αὐτοῖς ἀὴρ πλέον ἀναψύχεται, καὶ δύναται τὰ κλίματα οἰκεῖσθαι. τοῦ δὲ ἰσημερινοῦ μέσου τῶν τροπικῶν ὄντος, καὶ πρὸς ὀλίγον ἀφίσταται καὶ ταχεῖαν τὴν ἀπ' αὐτοῦ ὑποστροφὴν ποιεῖται, καὶ τὰ μὲν ὑπὸ τοῖς τροπικοῖς καταδέχεται τὰ ἀπὸ τῶν κατεψυγμένων ζωνῶν ἐτησίας πνεύματα, καὶ παραμυθοῦντα τὸν ἀπὸ τοῦ ἡλίου φλογμὸν, καὶ ἀναψύχοντα τὸν ἀέρα. μέχρι δὲ τοῦ ἰσημερινοῦ, ταῦτα οὐχ οἷά τε διϊκνεῖσθαι.

εἰ δὲ

oportet in hac Poſidonij eſſe ſententia. Cæterum à tropicis rurſus plus ſol diſtat, & perinde etiam qui ſub ipſis aër magis refrigeratur, poſſuntq; climata habitari. Sed cum ſit inter tropicos medius æquinoctialis, & parum admodum abſit, et celeriuſculè ad ipſum redeat, cumq; ſub tropicis loca excipiantur à refrigerantium zonarum flatibus eteſijs, fama etiam eſt, ſolis ardorem refrigerato aëre demulceri. At æquinoctialem uſque hi non poſſunt peruenire:

quòd

εἰ δὲ διίξεται, τότε ἴσην εἶναι τὴν νύκτα τῇ ἡμέρᾳ. οὐδὲν ἄρα καθ' αὑτὸ δύναιτο πρὸς ἀνάψυξιν τοῦ ἐκεῖ ἀέρος. ἀφάτῳ τε τῇ δυνάμει τοῦ ἡλίου κεχρημένου, καὶ ὀρθὴν καὶ ἔντονον ἐπὶ τοῦτο τὸ κλίμα διὰ παντὸς ἐκπέμποντος τὴν ἀκτῖνα, ἐπεί γε μὴ ἀξιόλογον ἀπ' αὐτοῦ τὴν ἀπόκλισιν ποιεῖται. ὑπονοεῖται δὲ ὑπὸ τῶν φυσικῶν, τὸ πλεῖστον τῆς μεγάλης θαλάσσης κατὰ τοῦτο τὸ κλίμα ὑποβεβλῆσθαι, εἰς τροφὴν τοῖς ἄστροις μεσαίτατον ὑπάρχον. ὥστε οὐχ ὀρθῶς ἔοικεν ἐνταῦθα φέρεσθαι ὁ ποσειδώνιος.

quòd ſi tranſierint, æſtuoſa & flammoſa itineris ſpacia ſub ſole fient. Aequalis diei nox per ſe nihil poteſt ad aërem illic refrigerandum, cum ſit uis ſolis ineffabilis, rectum'que & ualidum in id clima omnifariam radium iaculetur, quia ab ipſo non magnopere declinat. Intelligitur autem à Phyſicis magni maris plurimum in hoc clima ſubſterni, quod medioxumum eſt ad aſtrorum alimentum, & perinde hic neutiquam rectè uidetur ſenſiſſe Poſidonius.

Περὶ τῶν τῆς γῆς οἰκήσεων.

Ὅλης δὲ τῆς γῆς καθ' ὑπόθεσιν οἰκουμένης, τῶν οἰκήσεων αἱ μὲν περίσκιοι, αἱ δὲ ἑτερόσκιοι, αἱ δὲ ἀμφίσκιοι γίνονται. περίσκιοι μὲν, αἱ ὑπὸ τοῖς πόλοις, ἐν αἷς καὶ εἰς ἡμέραν καὶ νύκτα ὁ ἐνιαυτὸς διαιρεθήσεται, ὁρίζοντος μὲν γινομένου περὶ αὐτοῖς τοῦ ἰσημερινοῦ, ζωδίων δὲ ἓξ διὰ παντὸς τῶν αὐτῶν ὑπὲρ γῆς ὄντων, καὶ ἓξ ὑπὸ γῆν. κύκλον οὖν περιγράφουσαι περὶ αὐτοῖς αἱ σκιαὶ, περισκίους αὐτοὺς ποιοῦσιν, παραπλησίως τοῖς κύκλοις ἐν τοῖς ἀεὶ τοῖς πόλοις κλίμασι στρεφομένου τοῦ κόσμου. ἑτερόσκιοι δέ εἰσιν

De totius terræ habitatione.

Tota, ut receptũ eſt, habitatur terra. Habitationum aliæ ſunt periſcij, aliæ heteroſcij, aliæ amphiſcij euadunt. Periſcij quidem ſub polis, quibus in diem & noctem annus diuiditur, cum ſit incolarum horizon æquinoctialis, ſex ſignis in totum ſupra terram exiſtentibus, & ſex ſub terra. Circumquaque igitur ipſos circumſcribentes umbræ, periſcios faciunt, proximè ad polos mundo in regionib. ſub polis obuoluto. Heteroſcij aũt

εἰσὶν αἱ εὔκρατοι. ἐπεὶ ὅταν περὶ μεσημβρίαν γένηται ὁ ἥλιος, τῶν μὲν τὴν βορείαν ἐχόντων ζώνην, πρὸς βορρᾶν ἀποκλίνουσιν αἱ σκιαί. τῶν δὲ τὴν ἀντεύκρατον ἡμῖν, πρὸς νότον. ἀμφίσκιοι δὲ, οἱ ὑπὸ τὸν ἰσημερινὸν γενήσονται. πρὸς νότον μὲν γὰρ ἀπιόντος, καὶ ἕως πρὸς τὸν χειμερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου τοῦ ἡλίου, πρὸς βορρᾶν ἀποκλίνουσιν αὐτῶν αἱ σκιαί. πρὸς δὲ τὸν θερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ πορευομένου, πρὸς νότον αὖ τρέποιντο. καὶ τοιαύτη μὲν ἐστὶν ἡ περὶ τὰς ζώνας τῆς γῆς διαφορά. ἔτι δὲ δεῖ κἀκεῖνο ἐγνωκέναι ἐνταῦθα, ὅτι κατὰ ταὐτὸ αὔξεται

ſunt temperatæ. Quia cum circa meridiem ſol fuerit, zonam habentium ſeptentrionalem, ad aquilonem declinant umbræ. è regione nobis oppoſitam temperatam ad auſtrum ijdem, ſed ἀμφίσκιοι *qui ſunt ſub æquinoctiali. Ad auſtrum enim abeunte ſole, atq; hybernum tropicum, ab æquinoctiali ad aquilonem uergunt ipſorum umbræ: ad æſtiuũ autem ab æquinoctiali eunte ad hunc conuertentur. Atq; hæc eſt de zonis terræ differentia. Illud uiciſsim hic nos præterire non oportet, quòd per idem augetur*

αὔξεται μὲν καὶ μειοῦται ἡ ἡμέρα, πᾶσι τοῖς ἔχουσι τὴν ἡμετέραν εὔκρατον, οὐ μὴν ἡ ἴση γε προσθήκη καὶ ὑφαίρεσις παρὰ πᾶσιν ἐστίν. ἀλλὰ πολλή ἐστιν ἡ ἐν τούτοις παραλλαγή, τοῖς μὲν ἐλαχίστης γενομένης προσθήκης καὶ ὑφαιρέσεως, τοῖς δὲ μεγίστης, τοῖς δὲ μέσης. τούτου δὲ αἴτιον μὲν, τὸ μὴ ἐπίσης παρὰ πᾶσιν ἐγκεκλίσθαι τὸν κόσμον, μηδὲ τὸν βόρειον τῶν πόλων τὰς ἴσας μοίρας ἀπὸ τοῦ ὁρίζοντος ἐξῆρθαι, ἀλλὰ τοῖς μὲν πρὸς μεσημβρίαν οἰκοῦσι πρὸς ὀλίγον, τοῖς δὲ πρὸς ἄρκτον ἤδη πλέον, τοῖς δὲ μέσον τούτων μέσως. πρὸς μεσημβρίαν μὲν γὰρ ἀπ' ἄρκτου

augetur & minuitur dies, cunctis noſtram temperatam habitantibus, nec tamen æqualis additio & ſubtractio apud omnes eſt. Cæterum multa eſt in his mutatio. alijs quidem minimum fit incrementum & ſubtractio, alijs uerò maximum, alijs medium. In cauſa eſt, quòd non æquè apud omnes mundus inclinetur, quòd ſeptẽtrionalis polus inæqualibus partibus ab horizonte attollatur, ſed ad meridiem habitantibus parum, & ad ſeptentrionem plus, in horum medio mediocriter. Ad meridiem namq; à ſeptentrione

κτου πορευομένοις, ταπεινότερος ὁ πόλος γίνεται ἀναγκαίως, καὶ μεῖον τὸ ἔγκλιμα τοῦ κόσμου. ἐκεῖθεν δὲ πρὸς ἄρκτον ἰοῦσιν, τοὐναντίον. ἐν μὲν γὰρ τῇ ὑπὸ τὸν ἰσημερινὸν γῇ, ἑκάτερος τῶν πόλων ἐπὶ τοῦ ὁρίζοντος θεωρεῖται. καὶ πάντων τῶν παραλλήλων ἴσα ὑπὲρ γῆν καὶ ὑπὸ γῆν τμήματά ἐστιν, ὡς εἴρηται. καὶ τοῦ παρ' αὐτοῖς ὁρίζοντος ὁ ἄξων διάμετρος γίνεται. καὶ οὔτε ἀειφανὲς, οὔτε ἀφανές τι τῶν ἄστρων αὐτοῖς ἐστίν. ἐκεῖθεν δὲ πρὸς ἡμᾶς ἰοῦσιν ἐν σφαιρικῷ σχήματι τῆς γῆς, ὅ, τε πόλος ἐξαίρεται ὁ παρ' ἡμῖν, καὶ οἱ ὁρίζοντες μεταπίπτουσι,

καὶ

trione iter facientibus, humilior eſt neceſſario polus, minorque mundi inclinatio. Illinc porrò ad ſeptentrionem euntibus, è contrario. Nam in terra quæ ſub æquinoctiali uterque polus in horizonte ſpectatur, ac, ut dictum eſt, cuncta parallelorum ſupra terram & ſub terra ſunt æqualia ſegmenta, apud quos finientis axis eſt dimetiens, ſiue diameter: neq; aſtrũ aliquod ſemper apparet, neq; occultatur. Illinc ad nos euntib. in globoſa terræ figura, qui ſupra nos polus eleuatur, & horizõtes ſuccidũt,

axisq;

καὶ ὁ ἄξων οὐδενὸς ἔτι διάμετρος αὐτῶν γίνεται, διὰ τὴν γινομένην ἔγκλισιν τοῦ κόσμου ἀπὸ τοῦ ἐπιπέδου ἐξαιρομένου, κατὰ τὸ τοῦ πόλου ὕψωμα. καὶ κύκλοι ἀρκτικοὶ ἄλλοι παρ' ἄλλοις γίνονται, κατὰ τὰς τῶν ὁριζόντων μεταπτώσεις. δεῖ γὰρ τοὺς ἀρκτικοὺς, τὰ παρ' ἑκάστοις ἀφανῆ τῶν ἄστρων περιέχοντας, γράφεσθαι πόλῳ καὶ διαστήματι τῷ παρ' ἑκάστοις ὁρίζοντι. τοῖς μὲν οὖν πλησίον τῆς διακεκαυμένης, καὶ πρὸς μεσημβρίαν οἰκοῦσιν, ἐλάχιστοι γίνονται οἱ ἀρκτικοί, διὰ τὸ καὶ τὴν ἔγκλισιν τοῦ κόσμου βραχεῖαν εἶναι, καὶ τὸν πόλον πρὸς ὀλίγον ἀπὸ τοῦ ὁρίζοντος ἐξηρμένον

axisq; nullius amplius ipſorum dimetiens efficitur ob mundi factam inclinationem ſublati à plano, & poli ſublimitatem, orbesq; arctici alij apud alios emergunt, iuxta finientium interlapſus. Oportet ſiquidem arcticos, quæ apud ſingulos ſemper appareant aſtra, ad polum cõprehenſa deſcribere, ex interuallo apud ſingulos horizontes. Prope igitur torridam, & ad meridiem habitantibus minimi euadunt arctici, quòd mundi ſit inclinatio breuis; & polus parum à finiente eleuatus

φαίνεσθαι.

φαίνεσθαι. τοῖς δὲ πρὸς ἄρκτον καὶ πλησίον τῆς κατεψυγμένης, ἀνάγκη καὶ τοὺς ἀρκτικοὺς μεγίστους εἶναι, καὶ τὸν πόλον ἀξιόλογον ἔχειν, τὸ ὑπὲρ τοῦ ὁρίζοντος ὕψωμα, καὶ τὸν κόσμον ἀκολούθως ἐπὶ πλεῖστον ἐγκεκλίσθαι. ὅσοι δὲ τὸ μεσαίτατον ἔχουσιν ἄρκτου καὶ μεσημβρίας (ὧν καὶ οἱ ἕλληνές εἰσι, καὶ πάντες οἱ τὸν αὐτὸν ἔχοντες παράλληλον) τούτοις πάντα μέσως ἔχει τὰ προειρημένα. ὥστε καὶ τῶν παραλλήλων κύκλων, οἱ ὑπὸ τῶν παρ' ἑκάστοις ὁριζόντων τεμνόμενοι, ἐν μὲν τῇ διακεκαυμένῃ εἰς ἴσα, ἐν δὲ τοῖς ἄλλοις κλίμασιν εἰς ἄνισα τέμνονται.

σύμμε-

appareat. Ad ſeptentrionem uerò, & prope gelidam zonam maximos eſſe arcticos neceſſe eſt, polumq; ſatis amplam à finiente habere ſublimitatem, & perinde mundum plurimum inclinari. Qui uerò medioxumi ſunt inter ſeptentrionem & meridiem, inter quos ſunt Græci, & quicũq; eundem incolunt parallelum, eis quæ dicta ſunt mediocriter habent. Itaq; etiam parallelorum orbium, qui ſub ſingulis finientibus ſecti, in torrida in partes æquales, in alijs climatis in partes ſecãtur inæquales,

modera-

σύμμετρα δ' ἕξει παρὰ τοῖς, τά τε ὑπὸ γῆν καὶ ὑπὲρ γῆν, μείζω καὶ ἐλάσσω τμήματα. καὶ οὕτω καὶ κατὰ τὰς αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν τῆς ἀναλογούσης ἕξονται συμμετρίας. οἱ δὲ πλησίον τῆς διακεκαυμένης οἰκοῦντες, οὐκ ἀξιολόγους ἔχουσι τὰς αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν, διὰ τὸ πρὸς ὀλίγον παρ' αὐτοῖς τὸν κόσμον ἐγκεκλιμένον, ὀλίγην ποιεῖν παραλλαγὴν τῆς τε ἐκ τῶν παραλλήλων τομῆς, καθ' ἣν εἰς ἄνισα ὑπὸ τοῦ ὁρίζοντος τέμνονται. οἷς δὲ τὸ κατεψυγμένον τὸ κλίμα παρακείμενον ἔχουσι, πάνυ πολλή ὅσην ἡ κατὰ τὰς αὐ-

moderatæ habitu, apud hos quæ ſub terra, & ſupra terram maiora et minora ſegmenta, & perinde etiam iuxta dierum augmenta & diminutiones, proportionali habebunt moderamine. Qui uerò iuxta torridam habitãt, non admodum magna habent augmẽta & diminutiões dierum, quòd apud ipſos mundus parum inclinetur, exiguam faciendo mutationem ſectionis, quæ circa parallelos qua in partes inæquales à finientibus ſecantur. Qui in gelida zona poſitum clima habent, ibi multa admodum eſt per augmen-

τὰς αὐξήσεις τῶν ἡμερῶν καὶ νυκτῶν παραλλαγή, τοῦ τε κόσμου ἐπὶ πλεῖστον παρ' αὐτοῖς ἐγκεκλιμένου, καὶ τοῦ πόλου ἀξιόλογον ἔχοντος ἀπὸ τοῦ ὁρίζοντος ὕψος, καὶ διὰ τοῦτο μέγιστον τὸν παρ' αὐτοῖς ἀρκτικὸν ποιοῦντος, ὡς μὴ πολὺ τοῦ θερινοῦ ἀφεστάναι αὐτὸν κύκλου. οἷς ἀκολούθως οἱ παρ' αὐτοῖς ὁρίζοντες, ἀμετροτάτην τὴν εἰς ἄνισα τῶν παραλλήλων ποιοῦνται τομήν. ὅθεν καὶ τὰ περὶ τὰς αὐξήσεις καὶ μειώσεις τῶν ἡμερῶν, μεγίστης παρ' αὐτοῖς ἔχεται παραλλαγῆς. λέγεται γοῦν ἐν Βρετανίᾳ, περὶ καρκίνου τοῦ ἡλίου γινομένου, καὶ τὴν μεγίστην ἡμέραν

augmenta dierum & noctium mutatio, mundo plurimum apud ipſos inclinato, poloq; ſatis amplum à finiente habente faſtigium, & ob hoc maximum apud ipſos faciente arcticum, ut parum admodum ab æſtiuo abſit circulo. Vbi conſequitur, ut apud ipſos finientes immenſiſſimã in partes inæquales parallelorum facient ſectionem. Vnde & per dierum augmenta & diminutiones, maxima apud ipſos habetur mutatio. Traditur itaque in Britannia, cum ſol circa cancrum eſt, longiſſimum'que facit diem,

μέγα μὲν ποιοῦντος, ὡς ὀκτὼ καὶ δέκα ὡρῶν ἰσημερινῶν γίνεται ἡ ἡμέρα, ἓξ δὲ ἡ νύξ. ὅθεν καὶ φῶς ἐστὶ παρ' αὐτοῖς νυκτὸς τὸν χρόνον ὅλον, αὐτοῦ ὑπὲρ τὸν ὁρίζοντα τοῦ ἡλίου παρατρέχοντος, καὶ ἀποπέμποντος τὰς αὐγὰς ὑπὲρ γῆν. ὅπερ ἀμέλει καὶ παρ' ἡμῖν γίνεται, ὅταν πελάζει τῷ ὁρίζοντι, πολὺ τοῦ φωτὸς τῆς ἀνατολῆς αὐτοῦ προλαμβάνοντος. ὅθεν καὶ ἐν Βρεττανίᾳ νυκτὸς ἐστὶ φῶς, ὡς καὶ ἀναγινώσκειν δύνασθαι. καὶ γὰρ τοῦτό φασιν ἀναγκαιότατον ἐστὶ περὶ τὸν ὁρίζοντα, τότε τὴν πορείαν τοῦ ἡλίου ποιουμένου, καὶ οὐ διὰ τοῦ βαθυτάτου τῆς γῆς ἰόντος,

διὰ

nit diem, ut decem & octo horarum ſit dies æquinoctialium, nox autem ſex. Vnde etiam noctu tum lumen emicat, ſole ipſo ſecundum finientem procurrente, & ſupra terram lucem dimittente. Quod ferè fit apud nos, cum finienti propius acceſſerit ſol, ortu multum luminis admittente. Vnde & in Britannia noctu lumen dicitur, ut ſcriptis proditum eſt. Nam id fieri maximè neceſſarium eſt, cum apud finientem tum ſol iter faciat, nec per profundum terræ decurrat, quod

ſit

διὰ τὸ ἐλάχιστον εἶναι παρ' αὐτοῖς τμῆμα ὑπὸ γῆν τοῦ θερινοῦ κύκλου, περὶ τὴν θούλην καλουμένην νῆσον, ἐν ᾗ γεγονέναι φασὶ πυθέα τὸν μασσαλιώτην φιλόσοφον, ὅλον ὁ θερινὸς ὑπὲρ γῆς ἐστι λόγος, αὐτὸς καὶ ἀρκτικὸς ἐστί. παρ' αὐτοῖς, ὁπόταν ἐν καρκίνῳ ὁ ἥλιος ᾖ, μηνιαία γίνεται ἡ ἡμέρα. εἴγε καὶ τὰ μέρη πάντα τοῦ καρκίνου, ἀειφανῆ ἐστι παρ' αὐτοῖς. εἰ δὲ μή, ἐφ' ὅσον ἐν τοῖς ἀειφανέσιν αὐτοῦ ὁ ἥλιός ἐστι. ἀπὸ δὲ ταύτης τῆς νήσου προϊοῦσιν ὡς ἐπὶ τὰ ἀρκτικὰ ἐκ τοῦ πρὸς λόγον, καὶ ἕτερα μέρη τοῦ καρκίνου γίνοιτ' ἂν ἀειφανῆ τοῦ ζωδία.

ſit ipſius circuli æſtiui minimum ſub terra ſegmentum, circa inſulam Thulem nomine appellatam, in qua fuiſſe Pythea Maſſilienſem philoſophum ferunt, totum æſtiuum eſſe ſupra terram, & factum ipſis arcticum. Apud hos cum fuerit ſol in cancro, dies eſt menſtruus, quòd partes cancri omnes ipſis perpetuò appareant, ſicut omnibus in quibus ſol ſemper apparet. Ab hac inſula in ſeptentrionem procedentibus, habita ratione etiam aliæ partes in cancro ſigniferi perpetuò apparent.

ζωδιακοῦ. καὶ οὕτως, ἐφ' ὅσον τὰ περὶ ἑκάστοις φαινόμενα ὑπὲρ γῆς, αὐτοῦ διέρχεται ὁ ἥλιος, ἡμέρα γενήσεται. καὶ ἔστι κλίματα τὰ τῆς γῆς ἀναγκαίως, ἐν οἷς καὶ διμηνιαία καὶ τριμηνιαία γίνεται ἡμέρα, καὶ τεσσάρων καὶ πέντε μηνῶν. ὑπὸ δὲ τὸν πόλον αὐτὸν, ἓξ ζωδίων ὑπὲρ γῆς ὄντων, ἐφ' ὅσον ταῦτα διέρχεται ὁ ἥλιος, ἀειφανῆ ὄντα, ἡμέρα γενήσεται, τοῦ αὐτοῦ κύκλου καὶ ὁρίζοντος καὶ ἀρκτικοῦ γινομένου αὐτοῖς καὶ ἰσημερινοῦ. τοῖς μὲν γὰρ ἐν Θούλῃ συμπίπτει ὁ θερινὸς τροπικὸς τῷ ἀρκτικῷ. τοῖς δὲ ἔτι ἐνδοτέρω, ὑπερβαίνει ὁ ἀρκτικὸς τοῦ θερινοῦ εἰς τὰ πρὸς τὸν ἰσημερινὸν μέρη ἐκ τοῦ

rent. Atque ita quatenus apud ſingulos apparentes ſupra terram ſol permeat, dies erit. Suntq; climata neceſſariò terræ in quibus bimeſtris ſit dies, & trimeſtris, & quadrimeſtris, & quinquemeſtris. Sub ipſo polo ſeximeſtris eſt ſupra terram, quatenus hæc ſol permeat, quæ ſemper apparent, dies eiuſdem orbis erit, finiente arctico ipſis facto & æquinoctiali. Nam in Thule concidit æſtiuus tropicus arctico adhuc interiore. arcticus excedit æſtiuum in partes ad æquinoctialē hic

πρὸς

πρὸς λόγον τούτου γινομένου. τοῖς δ' ἐπ' αὐτῷ τῷ πόλῳ, ὁ ἰσημερινὸς τὰς τρεῖς λαμβάνει σχέσεις, ἀρκτικὸς γινόμενος ὅτι περιλαμβάνει τὰ ἀειφανῆ τῶν ἄστρων, μηδενὸς ἁπλῶς παρὰ ταῦτα ἢ δυομένου ἢ ἀνίσχοντος. ὁρίζων δὲ γίνεται, ὁ διχωρίζει τὸ ὑπὲρ τῆς γῆς τοῦ κόσμου ἡμισφαίριον ἀπὸ τοῦ ὑπὸ γῆν. ἰσημερινὸς δὲ, ὅτι ἐστὶν αὐτὸς ὁ διαιρῶν αὐτοῖς εἰς ἴσα τὴν ἡμέραν καὶ τὴν νύκτα. ὡς καὶ τοῖς ἄλλοις μὲν πᾶσιν ἐπίσης ἰσημερινός ἐστιν, οὐκ ἔτι δὲ οὔτε ὁρίζων, οὔτε ἀρκτικός. καὶ τὰ περὶ τῶν κατὰ τὰς ἡμέρας καὶ νύκτας αὐξήσεών τε καὶ μειώσεων, τοιαῦτά ἐστιν

παρὰ

iuxta rationem facto. Eis qui ſub polo, æquinoctialis tres capit affectiones, factus arcticus, quod comprehendat aſtra ſemper apparentia, nullo prorſus præter hæc aut occidente, aut oriente. Dicitur finiens, quod diſpeſcat mūdi ſupra terrā hemiſphæriū, ab eo quod ſub terra. Aequinoctialis porrò, quòd diſpeſcat ipſis in partes æquales diem & noctē, qui cunctis aliijs peræquè æquinoctialis eſt, necdū finiens aut arcticus, ac iuxta differētias dierum & noctiū. De augmentis & diminutionibus hæc dicta ſunt

apud

ἔσθ' ὑγιὴς ἡ περὶ τούτου δόξα ἡ τοῦ ποσειδωνίου. ἀλλὰ ἀεὶ μὲν τῶν τροπικῶν πάλιν ὁ ἥλιος ἀφίσταται. καὶ οὕτω ὁ ὑπ' αὐτοῖς ἀὴρ πλέον ἀναψύχεται, καὶ δύναται τὰ κλίματα οἰκεῖσθαι. τοῦ δὲ ἰσημερινοῦ μέσου τῶν τροπικῶν ὄντος, καὶ πρὸς ὀλίγον ἀφίσταται καὶ ταχεῖαν τὴν ἀπ' αὐτοῦ ὑποστροφὴν ποιεῖται, καὶ τὰ μὲν ὑπὸ τοῖς τροπικοῖς καταδέχεται τὰ ἀπὸ τῶν κατεψυγμένων ζωνῶν ἐτήσια πνεύματα, καὶ παραμυθοῦνται τὸν ἀπὸ τοῦ ἡλίου φλογμόν, καὶ ἀναψύχοντα τὸν ἀέρα. μέχρι δὲ τοῦ ἰσημερινοῦ, ταῦτα οὐχ οἷά τε διικνεῖσθαι.

εἰ δὲ

oportet in hac Poſidonij eſſe ſententia. Cæterum à tropicis rurſus plus ſol diſtat, & perinde etiam qui ſub ipſis aër magis refrigeratur, poſſuntq; climata habitari. Sed cum ſit inter tropicos medius æquinoctialis, & parum admodum abſit, et celeriuſculè ad ipſum redeat, cumq; ſub tropicis loca excipiantur à refrigerantium zonarum flatibus eteſijs, fama etiam eſt, ſolis ardorem refrigerato aëre demulceri. At æquinoctialem uſque hi non poſſunt peruenire:

quòd

εἰ δὲ διέξεισι, τότε ἴσην εἶναι τὴν νύκτα τῇ ἡμέρᾳ· οὐδὲν ἄρα καθ' αὑτὸ δύναιτο πρὸς ἀνάψυξιν τοῦ ἐκεῖ ἀέρος. ἀφάτῳ τε τῇ δυνάμει τοῦ ἡλίου κεχρημένου, καὶ ὀρθὴν καὶ ἔντονον ὡσεὶ εἰς τὸ κλίμα διὰ παντὸς ἐκπέμποντος τὴν ἀκτῖνα, ἐπεί γε μὴ ἀξιόλογον ἀπ' αὐτοῦ τὴν ἀπόκλισιν ποιεῖται. ὑπονοεῖται δὲ ὑπὸ τῶν φυσικῶν, τὸ πλεῖστον τῆς μεγάλης θαλάσσης ὑπὸ τοῦτο τὸ κλίμα ὑποβεβλῆσθαι, εἰς τροφὴν τοῖς ἄστροις μεσαίτατον ὑπάρχον. ὥστε οὐκ ὀρθῶς ἔοικεν ἐν τούτῳ φέρεσθαι ὁ ποσειδώνιος.

quòd ſi tranſierint, æſtuoſa & flammoſa itineris ſpacia ſub ſole fient. Aequalis diei nox per ſe nihil poteſt ad aërem illic refrigerandum, cum ſit uis ſolis ineffabilis, rectúmque & ualidum in id clima omnifariam radium iaculetur, quia ab ipſo non magnopere declinat. Intelligitur autem à Phyſicis magni maris plurimum in hoc clima te ſubſterni, quod medioxumum eſt ad aſtrorum alimentum, & perinde hic neutiquam rectè uidetur ſenſiſſe Poſidonius.

Περὶ τῶν τῆς γῆς οἰκήσεων.

Ὅλης δὲ τῆς γῆς καθ' ὑπόθεσιν οἰκουμένης, τῶν οἰκήσεων αἱ μὲν περίσκιοι, αἱ δὲ ἑτερόσκιοι, αἱ δὲ ἀμφίσκιοι γενήσονται. περίσκιοι μὲν, αἱ ὑπὸ τοῖς πόλοις, ἐν αἷς καὶ εἰς ἡμέραν καὶ νύκτα ὁ ἐνιαυτὸς διαιρεθήσεται, ὁρίζοντος μὲν γινομένου παρ' αὐτοῖς τοῦ ἰσημερινοῦ, ζωδίων δὲ ἓξ διὰ παντὸς τῶν αὐτῶν ὑπὲρ γῆς ὄντων, καὶ ἓξ ὑπὸ γῆν. κύκλον οὖν περιγράφουσαι παρ' αὐτοῖς αἱ σκιαὶ, περισκίους αὐτοὺς ποιοῦσιν, παραπλησίως τοῖς κύκλοις ἐν τοῖς ἀπὸ τοῖς πόλοις κλίμασι στρεφομένου τοῦ κόσμου. ἑτερόσκιοι δέ εἰσιν

De totius terræ habitatione.

Tota, ut receptũ eſt, habitatur terra. Habitationum aliæ ſunt periſcij, aliæ heteroſcij, aliæ amphiſcij euadunt. Periſcij quidem ſub polis, quibus in diem & noctem annus diuiditur, cum ſit incolarum horizon æquinoctialis, ſex ſignis in totum ſupra terram exiſtentibus, & ſex ſub terra. Circumquaque igitur ipſos circumſcribentes umbræ, periſcios faciunt, proximè ad polos mundo in regionib. ſub polis obuoluto. Heteroſcij aũt

εἰσὶν αἱ εὔκρατοι. ἐπεὶ ὅταν περὶ μεσημβρίαν γένηται ὁ ἥλιος, τῶν μὲν τὴν βορείαν ἐχόντων ζώνην, πρὸς βορρᾶν ἀποκλίνουσιν αἱ σκιαί. τῶν δὲ τὴν ἀντεύκρατον ἡμῖν, πρὸς νότον. ἀμφίσκιοι δέ, οἱ ὑπὸ τὸν ἰσημερινὸν γενήσονται. πρὸς νότον μὲν γὰρ ἀπιόντος, καὶ ἕως πρὸς τὸν χειμερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου τοῦ ἡλίου, πρὸς βορρᾶν ἀποκλίνουσιν αὐτῶν αἱ σκιαί. πρὸς δὲ τὸν θερινὸν ἀπὸ τοῦ ἰσημερινοῦ πορευομένου, πρὸς νότον αὖ τρέπονται. καὶ τοιαύτη μὲν ἐστὶν ἡ περὶ τὰς ζώνας τῆς γῆς διαφορά. ἔτι δὲ δεῖ κἀκεῖνο ἐγνωκέναι ἀγνοοῦντα, ὅτι κατὰ ταυτὸ αὔξεται

ſunt temperatæ. Quia cum circa meridiem ſol fuerit, zonam habentium ſeptentrionalem, ad aquilonem declinant umbræ. è regione nobis oppoſitam temperatam ad auſtrum iidem, ſed ἀμφίσκιοι qui ſunt ſub æquinoctiali. Ad auſtrum enim abeunte ſole, atq; hybernum tropicum, ab æquinoctiali ad aquilonem uergunt ipſorum umbræ: ad æſtiuũ autem ab æquinoctiali eunte ad hunc conuertentur. Atq; hæc eſt de zonis terræ differentia. Illud uiciſſim hic nos præterire non oportet, quòd per idem augetur

αὔξεται μὲν καὶ μειοῦται ἡ ἡμέρα, πᾶσι τοῖς ἔχουσι τὴν ἡμετέραν εὔκρατον, οὐ μὴν ἡ ἴση γε προσθήκη καὶ ὑφαίρεσις, παρὰ πᾶσιν ἐστίν. ἀλλὰ πολλή ἐστιν ἡ ἐν τούτοις παραλλαγή, τοῖς μὲν ἐλαχίστης γενομένης προσθήκης καὶ ὑφαιρέσεως, τοῖς δὲ μεγίστης, τοῖς δὲ μέσης. τούτου δὲ αἴτιον μὲν, τὸ μὴ ἐπίσης παρὰ πᾶσιν ἐγκεκλίσθαι τὸν κόσμον, μηδὲ τὸν βόρειον τῶν πόλων πρὸς ἴσας μοίρας ἀπὸ τοῦ ὁρίζοντος ἐξῆρθαι, ἀλλὰ τοῖς μὲν πρὸς μεσημβρίαν οἰκοῦσι πρὸς ὀλίγον, τοῖς δὲ πρὸς ἄρκτον ὑπὲρ πλέον, τοῖς δὲ μέσον τούτων μέσως. πρὸς μὲν μεσημβρίαν μὲν γὰρ ἀπ' ἄρ-

κτου

augetur & minuitur dies, cunctis noſtram temperatam habitantibus, nec tamen æqualis additio & ſubtractio apud omnes eſt. Cæterum multa eſt in his mutatio. alijs quidem minimum fit incrementum & ſubtractio, alijs uerò maximum, alijs medium. In cauſa eſt, quòd non æquè apud omnes mundus inclinetur, quòd ſeptẽtrionalis polus inæqualibus partibus ab horizonte attollatur, ſed ad meridiem habitantibus parum, & ad ſeptentrionem plus, in horum medio mediocriter. Ad meridiem nanq; à ſepten-

trione

κατὰ πορευομένοις, ταπεινότερος ὁ πόλος γίνεται ἀναγκαίως, καὶ μεῖον τὸ ἔγκλιμα τοῦ κόσμου. ἐκεῖθεν δὲ πρὸς ἄρκτον ἰοῦσιν, τοὐναντίον. ἐν μὲν γὰρ τῇ ὑπὸ τὸν ἰσημερινὸν γῇ, ἑκάτερος τῶν πόλων ἐπὶ τοῦ ὁρίζοντος θεωρεῖται. καὶ πάντων τῶν παραλλήλων ἴσα ὑπὲρ γῆν καὶ ὑπὸ γῆν τμήματά ἐστιν, ὡς εἴρηται. καὶ τοῦ παρ' αὐτοῖς ὁρίζοντος ὁ ἄξων διάμετρος γίνεται. καὶ οὔτε ἀειφανές, οὔτε ἀφανές τι τῶν ἄστρων αὐτοῖς ἐστιν. ἐκεῖθεν δὲ πρὸς ἡμᾶς ἰοῦσιν ἐν σφαιρικῷ σχήματι τῆς γῆς, ὅ, τε πόλος ἐξαίρεται ὁ παρ' ἡμῖν, καὶ οἱ ὁρίζοντες μεταπίπτουσι,

καὶ

trione iter facientibus, humilior eſt neceſſario polus, minorque mundi inclinatio. Illinc porrò ad ſeptentrionem euntibus, è contrario. Nam in terra quæ ſub æquinoctiali uterque polus in horizonte ſpectatur, ac, ut dictum eſt, cuncta parallelorum ſupra terram & ſub terra ſunt æqualia ſegmenta, apud quos finientis axis eſt dimetiens, ſiue diameter: neq; aſtrũ aliquod ſemper apparet, neq; occultatur. Illinc ad nos euntib. in globoſa terræ figura, qui ſupra nos polus eleuatur, & horizõtes ſuccidũt.

axisq;

οὐδ' ὁ ἄρατος ἐν τοῖς φαινομένοις μιμνήσκεται αὐτοῦ. ἀπὸ δὲ τῶν ἀρκτικῶν ὡς πρὸς μεσημβρίαν ἰοῦσιν, ἀρχὴν τοῦ ὁρᾶσθαι ἐν τῇ ῥόδῳ λαμβάνει, καὶ ὀφθεὶς ἐπὶ τοῦ ὁρίζοντος, εὐθέως κατὰ τὴν στροφὴν τοῦ κόσμου καταδύεται. ὁπόταν δὲ ἡμεῖς ἀπὸ ῥόδου πεντακισχιλίους σταδίους διαπλεύσαντες, ἐν ἀλεξανδρείᾳ γενώμεθα, εὑρίσκεται ὁ ἀστὴρ οὗτος ὕψος ἀπέχων τοῦ ὁρίζοντος. ἐπειδὰν ἀκριβῶς μεσουρανῇ τέταρτον ζῳδίου, ὅ ἐστι τεσσαρακοστόογδοον τοῦ μεσημβρινοῦ τοῦ διὰ ῥόδου καὶ ἀλεξανδρείας. ἀνάγκη τοίνυν καὶ τὸ ὑποκείμενον τοῦ αὐτοῦ τοῦ με-

neque Aratus in Phænomenis ipſam memorauit. A' ſeptentrione autem in meridiem euntibus, primum in Rhodo ſub uiſum cadit, infinite'que perſpecta, confeſtim ex mundi conuerſione occidit. At cum à Rhodo quina ſtadiorum milia Alexandriam uerſus nauigaris, in Alexandria ipſa ab horizonte ſublimis apparet, in medio ad libellam cœlo pars ſigni eius quarta, quæ eſt quadrageſima octaua, pars meridiani per Rhodum & Alexandriam. Neceſſe igitur etiam imminēs eiuſdem meri-

τοῦ μεσημβρινοῦ τμῆμα τοῦ διαστήματος τοῦ μεταξὺ ῥόδου καὶ ἀλεξανδρείας, τεσσαρακοστὸν ὄγδοον μέρος αὐτοῦ εἶν. διὰ τὸ, τοῦτον καὶ τὸν ὁρίζοντα τῶν ῥοδίων, τοῦ ὁρίζοντος τῶν ἀλεξανδρέων ἀφίστασθαι. ἐπεὶ οὖν τὸ ὑπὸ τοῦτο τὸ τμῆμα ὑποκείμενον τῆς γῆς μέρος, πεντακισχιλίων σταδίων εἶναι δοκεῖ. καὶ τὰ τοῖς ἄλλοις τμήμασιν ὑποκείμενα, ἐκ πεντακισχιλίων σταδίων ἐστί. καὶ ὁ μέγιστος κύκλος τῆς γῆς εὑρίσκεται μυριάδων τεσσάρων καὶ εἴκοσιν, ἐὰν ὦσιν οἱ ἀπὸ ῥόδου πεντακισχίλιοι. εἰ δὲ μή, πρὸς λόγον τοῦ διαστήματος. καὶ ἡ μὲν ποσει-

meridiani ſegmentum interualli, quod eſt inter Rhodũ & Alexandriam quadrageſimã octauam partẽ eius eſſe, quod finiens Rhodiorũ à finiente Alexãdrinorũ abſit quadrageſima octaua ſigniferi orbis parte. Quia igitur hoc interuallo poſita eſt terræ pars quinq; miliũ ſtadiorũ eſſe, & alijs ſubiecta ſegmentis quinq; milium ſtadiorum eſſe comprobãtur, & is maximus terræ circulus inuenitur ducentorum quadraginta milium, ſi fuerint à Rhodo in Alexandriam quina milia: ſin minus, ad rationem interualli. Atque hæc Poſi-

ποσειδωνίου ἔφοδος περὶ τοῦ τῆς γῆς μεγέθους τοιαύτη. ἡ δὲ τοῦ ἐρατοσθένους γεωμετρικῆς ἐφόδου ἐχομένη, καὶ δοκοῦσά τι ἀσαφέστερον ἔχειν. ποιήσει δὲ σαφῆ τὰ λεγόμενα ὑπ᾽ αὐτοῦ, τάδε προϋποθεμένων ἡμῶν. ὑποκείσθω ἡμῖν πρῶτον μὲν κἀνταῦθα ὑπὸ τῷ αὐτῷ μεσημβρινῷ κεῖσθαι συήνην καὶ ἀλεξάνδρειαν. καὶ δεύτερον τὸ διάστημα τὸ μεταξὺ τῶν πόλεων, πεντακισχιλίων σταδίων εἶναι. καὶ τρίτον, τὰς καταπεμπομένας ἀκτῖνας ἀπὸ διαφόρων μερῶν τοῦ ἡλίου ἐπὶ διάφορα μέρη τῆς γῆς, παραλλήλους εἶναι (οὕτως γὰρ ἔχειν αὐτὰς οἱ γεω-

Poſidonij doctrina de terræ magnitudine. Eratoſthenis autem ratio geometricis comprehenſa argumentis, quiddam obſcurius uidetur continere, ſed ab eo dicta faciemus apertiora, hypotheſibus præmuniendo. Primo igitur nobis receptum ſit ſub eodem meridiano eſſe Syenen & Alexandriã, mediumq; harum ciuitatum interuallum quinque milium ſtadiorum eſſe, tertio que dimiſſos radios á differentibus partibus ſolis ad differentes terræ partes parallelos eſſe. Ita nanque ipſos habere geome-

οἱ γεωμέτραι ὑποτίθενται). τέταρτον, ἐκεῖνο ὑποκείσθω δεικνύμενον παρὰ τοῖς γεωμέτραις, τὰς εἰς παραλλήλους ἐμπιπτούσας εὐθείας, τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν. πέμπτον, τὰς ὑπὸ ἴσων γωνιῶν βεβηκυίας περιφερείας, ὁμοίας εἶναι. τοῦτο δ' ἐστιν, τὴν αὐτὴν ἀναλογίαν, καὶ τὸν αὐτὸν ἔχειν λόγον πρὸς τοὺς οἰκείους κύκλους. δεικνυμένου καὶ τούτου παρὰ τοῖς γεωμέτραις. ὁπόταν γὰρ περιφέρειαι ὑπὸ ἴσων γωνιῶν ὦσι βεβηκυῖαι, ἂν μία ἥτισοῦν αὐτῶν δέκατον ᾖ μέρος τοῦ οἰκείου κύκλου, καὶ αἱ λοιπαὶ πᾶσαι δέκατα τὰ μέρη γενήσονται

geometræ conſtituerunt. Illud porrò quartum ponatur à geometris demonſtratum, in parallelos dimiſſas rectas lineas, mutuos angulos æquales efficere. Quinto ad æquales angulos peruenientes circumferētias ſimiles eſſe, hoc eſt eandem proportionem, eandem'que habere rationem ad ſuos circulos, hoc etiam à geometris demonſtrato. Cum enim circumferentiæ ad æquales angulos peruenerint, ſi una quæuis ipſarum fuerit pars decima ſui orbis, etiam reliquæ omnes, decem partes

νήσοντι τῶν οἰκείων κύκλων. τούτων ὁ κατακρατήσας οὐκ ἂν χαλεπῶς τὴν ἔφοδον τὴν Ἐρατοσθένους καταμάθοι, ἔχουσαν οὕτως. ὑπὸ τῷ αὐτῷ κεῖσθαί φησι μεσημβρινῷ Συήνην καὶ Ἀλεξάνδρειαν. ἐπεὶ οὖν μέγιστοι τῶν ἐν τῷ κόσμῳ οἱ μεσημβρινοί, δεῖ καὶ τοὺς ὑποκειμένους αὐτοῖς τῆς γῆς κύκλους μεγίστους εἶναι ἀναγκαίως. ὥστε, ἡλίκον ἂν τὸν διὰ Συήνης καὶ Ἀλεξανδρείας ἥκοντα κύκλον τῆς γῆς ἡ ἔφοδος ἀποδείξει αὕτη, τηλικοῦτος ἔσται ὁ μέγιστος τῆς γῆς κύκλος. φησὶ τοίνυν, καὶ ἔχει οὕτως, τὴν Συήνην ὑπὸ τῷ θερινῷ τροπικῷ κεῖσθαι κύκλῳ. ὁπόταν οὖν

ἐν

fient ſuorum orbium. His perceptis, difficilis non erit Eratoſthenis diſciplina, quam hoc pacto perpenderis. Sub eodem, ait, eſt meridiano Syene et Alexandria. Quia igitur maximi in mundo meridiani, oportet etiã eis ſubiectos terræ orbes, maximos eſſe. Neceſſario itaque quantum per Syenen & Alexandriam uenientem terræ circulum hæc diſciplina demonſtrauerit, tantus eſt maximus terræ circulus. Ait ergo hoc modo: Syene ſub æſtiuo tropico poſita eſt circulo. Cum ergo

ἐν καρκίνῳ γινόμενος ὁ ἥλιος, καὶ θερινὰς ποιῶν τροπὰς ἀκριβῶς μεσουρανήσει, ἄσκιοι γίνονται οἱ τῶν ὡρολογίων γνώμονες ἀναγκαίως, κατὰ κάθετον ἀκριβῆ τοῦ ἡλίου ὑπερκειμένου. καὶ τοῦτο γίνεσθαι, λόγος, ἐπὶ σταδίους τριακοσίους τὴν διάμετρον. ἐν ἀλεξανδρείᾳ δὲ, τῇ αὐτῇ ὥρᾳ ἀποβάλλουσιν οἱ τῶν ὡρολογίων γνώμονες σκιάν. ὅτε πρὸς ἄρκτῳ μᾶλλον τῆς συήνης ταύτης τῆς πόλεως κειμένης, ὑπὸ τῷ μεσημβρινῷ τοίνυν καὶ μεγίστῳ κύκλῳ τῶν πόλεων κειμένων, ἂν περιαγάγωμεν περιφέρειαν ἀπὸ τοῦ ἄκρου τοῦ γνώμονος σκιᾶς, ἐπὶ τὴν

βάσιν

ſol fuerit in cãcro, ſolſtitiumq; faciet æſtiuũ, & medium cœlũ ad libellam obtinuerit, ab umbra immunes ſint neceſſe eſt horologiorum gnomones, ſole ad unguem poſito ad perpendiculum. Hæc ratio facit dimetientem ad ſtadia trecẽta. In Alexandria uerò eadem hora iactant horologiorum gnomones umbram, ſicut eſt, ad ſeptentrionẽ magis quàm Syene, hac ciuitate poſita. Sub meridiano igitur ac maximo circulo poſitarum ciuitatum ſi circumagamus circumferentiam, ab extremo umbræ gnomonis, ad

baſim

βάσιν αὐτὴν τοῦ γνώμονος τοῦ ἐν ἀλεξανδρείᾳ ὡρολογίου, αὐτὴ ἡ περιφέρεια, τμῆμα τοῦ μεγίστου τοῦ ἐν τῇ σκάφῃ κύκλων. ἐπεὶ μεγίστῳ κύκλῳ ὑπόκειται ἡ τοῦ ὡρολογίου σκάφη. εἰ οὖν ἑξῆς νοήσαιμεν εὐθείας διὰ τῆς γῆς ἐκβαλλομένας ἀφ᾽ ἑκατέρου τοῦ γνωμόνων, πρὸς τῷ κέντρῳ τῆς γῆς συμπεσοῦνται. ἐπεὶ οὖν τὸ ἐν τῇ συήνῃ ὡρολόγιον κατὰ κάθετον ὑπόκειται τῷ ἡλίῳ, ἂν ἐπινοήσωμεν εὐθεῖαν ἀπὸ τοῦ ἡλίου ἥκουσαν ἐπ᾽ ἄκρον τοῦ ὡρολογίου γνώμονα, μία γενήσεται εὐθεῖα, ἡ ἀπὸ τοῦ ἡλίου μέχρι τοῦ κέντρου τῆς γῆς ἥκουσα. ἐὰν οὖν ἑτέραν

baſim ipſam gnomonis in Alexandria horologij, ipſa circumferentia ſegmentum fiet maximi in foſſura circulorum, quia maximo circulo ſubiacet horologij foſſura. Si igitur intelligamus deinceps rectas lineas per terram productas, ab utroq; gnomone ad terræ centrũ coincident. Quoniam igitur in Syene horologiũ ad perpendiculum ſoli ſubijcitur, ſi rectam lineam intelligamus à ſole uenientem ad extremum horologij gnomonem, una fiet recta linea, quæ à ſole ad centrum uſque terræ peruenit. Si igitur alteram

ἑτέραν εὐθεῖαν νοήσωμεν ἀπὸ τοῦ ἄκρου τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τὸν ἥλιον ἀναγομένην ἀπὸ τῆς ἐν ἀλεξανδρείᾳ σκάφης, αὕτη καὶ ἡ προειρημένη εὐθεῖα, παράλληλοι γενήσονται, ἀπὸ διαφόρων γε τοῦ ἡλίου μερῶν ἐπὶ διάφορα μέρη τῆς γῆς διήκουσαι. εἰς ταύτας τοίνυν παραλλήλους οὔσας, ἐμπίπτει εὐθεῖα, ἡ ἀπὸ κέντρου τῆς γῆς ἐπὶ τὸν ἐν ἀλεξανδρείᾳ γνώμονα ἥκουσα, ὥστε τὰς ἐναλλὰξ γωνίας ἴσας ποιεῖν. ὧν ἡ μὲν ἐστιν πρὸς τῷ κέντρῳ τῆς γῆς κατὰ σύμπτωσιν εὐθειῶν, αἳ ἀπὸ τῶν ὡρολογίων ἤχθησαν ἐπὶ τὸ κέντρον τῆς γῆς γενομένη, ἡ δὲ

alteram rectam lineam intelligamus, ab extrema gnomonis umbra ad ſolem reductam, ab Alexandriæ foſſura, ipſa etiam memorata recta linea, fient paralleli, à differentibus ſolis partibus ad differentes terræ partes penetrantes. In has itaq; quæ paralleli ſunt, incidit recta linea, quæ à centro terræ ad in Alexandria gnomonem perueniens, ut mutuos angulos faciat æquales. Quorũ unus in centro terræ per coincidentiam rectarum linearum, quæ ab horologijs actæ ſint, in terræ centro factus: alter

νη. ἡ δὲ κατὰ σύμπτωσιν ἄκρου τοῦ ἐν ἀλεξανδρείᾳ γνώμονος, καὶ τῆς ἀπ' ἄκρας αὐτοῦ τῆς σκιᾶς ἐπὶ τὸν ἥλιον διὰ τῆς πρὸς αὐτὸν ψαύσεως ἀναχθείσης γεγενημένη. καὶ ἐπὶ μὲν ταύτης βέβηκε περιφέρεια ἡ ἀπ' ἄκρας τῆς σκιᾶς τοῦ γνώμονος ἐπὶ τὴν βάσιν αὐτοῦ περιαχθεῖσα. ἐπὶ δὲ τῆς πρὸς τῷ κέντρῳ τῆς γῆς, ἡ ἀπὸ συήνης διήκουσα εἰς ἀλεξάνδρειαν. ὅμοιαι τοίνυν αἱ περιφέρειαι εἰσὶν ἀλλήλαις, ἐπὶ ἴσων γωνιῶν βεβηκυῖαι. ὃν ἄρα λόγον ἔχει ἡ ἐν τῇ σκάφῃ πρὸς τὸν οἰκεῖον κύκλον, τοῦτον ἔχει λόγον καὶ ἡ ἀπὸ συήνης εἰς ἀλεξάνδρειαν

alter per collapſum extremi in Alexandria gnomonis, & ab extrema eius umbra ad ſolem, per ad ipſum contactum reducta factus, & in hac uenit circumferentia, quæ ab extrema gnomonis umbra ad baſim ipſius circumacta: in eis autem qui ſunt ad centrum terræ, à Syene perueniens in Alexandriam. Similes igitur circumferentiæ ſunt inter ſe inuicem, in angulis peruenientes æqualibus. Quam ergo habet rationem, qui in foſſura ad ſuum orbem eam habet rationem, etiã à Syene in Alexandriam

δρειαν ἥκουσα. ἡ δέ γε ἐν τῇ σκάφῃ, πεντηκοστὸν μέρος εὑρίσκεται τοῦ οἰκείου κύκλου. δεῖ οὖν ἀναγκαίως καὶ τὸ ἀπὸ συήνης εἰς ἀλεξάνδρειαν διάστημα πεντηκοστὸν μέρος εἶναι τοῦ μεγίστου τῆς γῆς κύκλου. καὶ ἔστι τοῦτο, σταδίων πεντακισχιλίων. ὁ ἄρα σύμπας κύκλος γίνεται μυριάδων εἴκοσι πέντε. καὶ ἡ μὲν ἐρατοσθένους ἔφοδος τοιαύτη. τίθεται δὲ καὶ χειμεριναῖς τροπαῖς ὡρολόγια εἰς ἑκατέραν τῶν πόλεων, καὶ ἑκατέρων σκιὰς ἀποβαλλόντων, μείζων ἡ ἐν ἀλεξανδρείᾳ εὑρίσκεται ἀναγκαίως, διὰ τὸ πλέον ἀφεστάναι χειμερινοῦ τρο-

driam perueniens, quæ in foſſura quinquageſima pars inuenitur ſui orbis. Oportet igitur neceſſariò & à Syene in Alexandriam interuallum quinquageſimam eße partem maximi terræ circuli, idq; eſt ſtadiorum quinque milium. Vniuerſus ergo circulus fit ducentorum quinquaginta milium. Atque hæc eſt doctrina Eratoſthenis. Ponuntur etiam in hybernis ſolſtitijs horologia in utraque ciuitate, & utraque iactante umbras, neceßariò maior inuenitur in Alexandria, quòd longius abſit à ſolſtitio hy

πικοῦ τὴν πόλιν ταύτην. λαμβάνοντες οὖν τὴν ὑπεροχὴν τῆς σκιᾶς, καθ' ἣν ὑπερέχεται ἡ ἐν συήνῃ πρὸς τὴν ἐν ἀλεξανδρείᾳ, εὑρίσκουσι καὶ ταύτην μέρος πεντηκοστὸν τοῦ μεγίστου τοῦ ἐν τῷ ὡρολογίῳ κύκλου. καὶ οὕτως καὶ ἀπὸ τούτου γνώριμον γίνεται, ὅτι πέντε καὶ εἴκοσι μυριάδων ἐστὶν ὁ μέγιστος τῆς γῆς κύκλος. ἔσται οὖν ἡ διάμετρος τῆς γῆς ὑπὲρ τὰς ὀκτὼ μυριάδας, τρίτον γε τοῦ μεγίστου τῶν ἐν αὐτῇ κύκλων ἔχειν ὀφείλουσα. οἱ οὖν λέγοντες, μὴ δύνασθαι τὴν γῆν σφαιρικὴν εἶναι, διά τε τὰ τῆς θαλάττης κοιλώματα, καὶ τὰς τῶν ὀρῶν ἐξοχάς,

berno hæc ciuitas. Capiendo igitur umbræ exceſſum, quo exceditur quæ in Syene, ab ea quæ in Alexandria, eam quoque inueniunt partem quinquageſimam maximi in horologio circuli. Et perinde etiam ab hoc dinoſcitur ducentorum quinquaginta milium maximus terræ circulus. Erit itaque totius terræ dimetiens ſupra octoginta milia, ut habere oporteat tertiam partem maximi in ipſa orbis. Qui itaque aiunt terram globoſam eſſe non poſſe, ob maris cauitates, & montium

faſtigia

ἐξοχὰς, πάνυ ἀλόγως τοῦτο δοξάζουσι. οὔτε γὰρ ὄρος ὑψηλότερον πεντεκαίδεκα σταδίων κατὰ τὴν κάθετον εὑρίσκεται, οὔτε θαλάσσης βάθος. τριάκοντα δὲ στάδιοι πρὸς πλεῖον ἢ μυριάδας ὀκτὼ σταδίων, οὐδένα λόγον ἔχουσιν. ἀλλὰ ὅμοιόν ἐστιν τοῦτο, ὡς εἰ καὶ κονιορτός τις ἐπὶ σφαίρας εἴη, αἵτε ἐξοχαὶ αἱ περὶ τὰ σφαιρία τῶν πλατάνων οὐ κωλύουσιν αὐτὰ σφαιρία εἶναι. καίτοι αὗται πλείονα λόγον ἔχουσι πρὸς τὰ ὅλα τῶν σφαιρίων μεγέθη, ἢ αἱ κοιλότητες τῆς θαλάσσης, καὶ αἱ τῶν ὀρῶν ὑπεροχαὶ πρὸς τὸ πᾶν τῆς γῆς μέγεθος.

οὖσα

faſtigia opinātur. quod à ratione admodum abeſt. Neq; enim editior mõs quindecim ſtadijs ad perpendiculũ inuenitur, neq; maris profunditas triginta ſtadia ad ſummum, ad ſtadiorum octoginta milia ullam habent rationem. ſed uel tale eſt, ut ſi in pila ſit puluiſculus quiſpiam, & eminētiæ circa ſphæria platanorum non prohibēt ipſa eſſe ſphæria. Quanquam hæ maiorem habent rationem ad totas ſphæriorum magnitudines, quàm cauitates maris, & montium faſtigia ad totius terræ magnitudinem.

ὅσα δὲ τὸ μέγεθος ἡ γῆ ἡλίκη, διὰ τῶν προδεδειγμένων ἐφόδων ἐπιδέδεικται, οὐ μόνον πρὸς τὸ σύμπαν τοῦ κόσμου μέγεθος σημείου λόγον ἐπέχουσα διὰ πολλῶν ἐλέγχεται, ἀλλὰ καὶ πρὸς τὸ ἡλιακὸν ὕψος, οὗ καὶ πολὺ μείζων ἐστὶν ἡ περιέχουσα τὰ ἀπλανῆ τῶν ἄστρων σφαῖρα. ὥσπερ οὖν εἰ καὶ ὕδωρ ἀμφορέων μυριάδες μύριαι, καθ' αὑτὰς μὲν θεωρούμεναι ἀξιόλογον ἔχουσι τὸ πλῆθος. πρὸς δὲ τὴν θάλασσαν, οὐδένα λόγον ἔχουσιν, ἀλλ' οὐδὲ πρὸς τὸν νεῖλον ἢ ἄλλον τινὰ τῶν ἀξιολόγων ποταμῶν. οὕτω καὶ ἡ γῆ, καθ' αὑτὴν μὲν ἐξεταζ-

Quanta ſit terræ magnitudo, ex iam dictis præceptionibus eſt demonſtratum. Non modò ad totius mundi magnitudinem, puncti rationem habere, multis conuincitur argumentis, ſed etiam ſolare faſtigium. At multo maior eſt globus, aſtra hærentia cœlo continens. Quemadmodum igitur amphorarum centena milia per ſe inſpecta, magnitudinem ingentem habent: in maris autem comparatione rationem habent nullam, ſed ne quidem ad Nilũ, alium'ue quempiam magnum fluuium: ita terra per ſe in quæſtio-

ἐξεταζομένη, ἀξιόλογον φαίνεται τὸ μέγεθος ἔχειν, ἥ γε ὑπὲρ τὰς ὀκτὼ μυριάδας ἡ διάμετρός ἐστιν. οὔτε δὲ πρὸς τὸ ἡλιακὸν ὕψος λόγον τινὰ φαίνεται ἔχουσα, οὔτε πολὺ πλέον, πρὸς τὸ σύμπαν τοῦ κόσμου μέγεθος. λόγον γὰρ ὀφείλει ἔχειν μέγεθος πρὸς μέγεθος, ὁπόταν τὸ μεῖζον ὑπὸ τοῦ ἐλάσσονος οἷόν τ' ᾖ καταμετρηθῆναι, ἢ δεκαπλάσιον, φέρε εἰπεῖν, ἢ, εἰ βούλει, καὶ μυριοπλάσιον ὄν. ὁ δὲ τῶν ὑδάτων ἀμφορεὺς, οὐκ ἂν καταμετρήσειε τὴν θάλασσαν, ἀλλ' οὐδὲ τὸν νεῖλον. ὥσπερ οὖν ὁ ἀμφορεὺς οὐδένα λόγον ἔχει πρὸς τὰ εἰρη-

quæſtione habita, amplam habere uidetur magnitudinem, cuius dimetiẽs eſt ſupra octo ginta milia: neq; tamen ad ſolare faſtigiũ quampiam rationem habere uidetur, & ne quidem multo magis ad totius mundi magnitudinem. Oportet nanq; magnitudinem ad magnitudinem habere rationem. cum maior minorẽ metiri potuerit. Verbi cauſa, ſi decupla fuerit tibi dicenda, uel decieſmilies tanta: at aquæ amphora neutiquam mare metietur, at ne quidem Nilum. Quemadmodũ igitur amphora nullam habet ad ea quæ dicta ſunt

τὰ εἰρημένα, οὕτως οὐδὲ τὸ μέγεθος τῆς γῆς λόγον τινὰ πρὸς τὸ τοῦ κόσμου μέγεθος ἔχει. τοῦτο δὲ ἐκ πάνυ πολλῶν ἐλέγχεται, μόνον οὐχὶ γραμμικὰς ἐχόντων τὰς ἀποδείξεις. πρῶτον μὲν γὰρ, ὁ ἥλιος καίτοι πολὺ μείζων ὢν συμπάσης τῆς γῆς καὶ θαλάσσης (ὡς διὰ τῶν ἑξῆς ἀποδειχθήσεται) ὅσον ποδιαίου ἡμῖν φαντασίαν ἀποπέμπει, καὶ ταῦτα λαμπρότατος ὤν. πάρεστιν οὖν συννοεῖν, εἰ ἀπὸ τοῦ ἡλιακοῦ ὕψους ὁρῷμεν εἰς τὴν γῆν, ἤ τοι οὐδ' ὅλως ἂν ἡμῖν ὀφθείη, ἢ ἀστέρος τὸ βραχύτατον τὸ μέγεθος ἔχουσα.

εἰ δὲ

cta ſunt rationem, ita ne quidem magnitudo terræ rationem habet ullam ad mundi magnitudinem. Id admodum multis eſt comprobatũ argumentis, per lineares obtentis demonſtrationes. Primo nanq; ſol cum ſit multo maior uniuerſa terra, mariq; quemadmodũ mox demonſtrabitur: tantus tamen pedalẽ nobis ſuggerit imaginem, cum ſit fulgentiſsimus. Intelligere igitur nobis par eſt, ſi à ſolari faſtigio in terram oculos deiecerimus, aut prorſus nihil cernimus, aut ſtellæ perexiguæ uidetur magnitudo.

Quod

εἰ δὲ ἐπὶ τὰ ὑψηλότερα μέρη τοῦ ἡλίου μεθεωρισθείημεν, καθ' ὑπόθεσιν, καὶ ἐπ' αὐτῆς τῆς τῶν ἀπλανῶν σφαίρας, οὐδ' ὅλως ἂν ἡμῖν ὀφθείη ἡ γῆ. οὐδ' εἰ τὴν ἴσην τοῦ ἡλίου λαμπρότητα ἔχουσα ἐπινοηθείη. ὅθεν καὶ τοὺς ἀστέρας αὐτῆς μείζονας εἶναι ἀναγκαῖον. εἴ γε οὗτοι μὲν ἀπ' αὐτῆς ὁρῶνται, ἀπὸ δὲ τοῦ ὕψους τῆς σφαίρας τῶν ἀπλανῶν οὐκ ἂν αὐτὴ ὀφθείη, καίτοι πολύ γε τοῦ ἡλίου τὸ μέγεθος ἐλάττων ὑπάρχουσα. ἐπεὶ τάχα καὶ αὐτὸς ὁ ἥλιος ἐν τῷ ὕψει τῶν ἀπλανῶν ἐπινοηθεὶς ἀστεριαῖος τὸ μέγεθος φανήσεται. γνώριμον δέ, καὶ ἀπὸ τοῦ ἤδη τὰ ἄστρα

θέας,

Quod ſi fieri queat, ut ad ſolem uſque attollamur, cæteraſq; uagas ſtellas, terra à nobis ſpectari non poterit, ne quidem etiam ſi ſolis fulgorem obtineat, ut par ſit hærẽtes quoque cœlo ſtellas terra eſſe maiores, cum à terra cernantur. Et terra ipſa à uagarum ſtellarum globis ſub uiſum cadere non poßit, quòd ſole multo ſit minor, licet ſol locum hærentium cœlo ſtellarum poſitus, non maior fortè in obtutum caſurus ſit ſtella. Liquet ergo ex

his,

θέας, ὅτι ἡ γῆ στιγμιαία ἐστι πρὸς τὸ μέγεθος τοῦ κόσμου. ἀπὸ παντὸς γὰρ μέρους αὐτῆς, οὐ μόνον ἴσα ὁρᾶται, ἀλλὰ καὶ ὅμοια τῷ σχήματι. ὧν οὐδέτερον ἂν συνέβαινεν, εἰ μὴ αἱ προσπίπτουσαι εὐθεῖαι ἀπὸ παντὸς μέρους αὐτῆς πρὸς πάντα τὰ μέρη τοῦ οὐρανοῦ, ἴσαι ἦσαν ἀλλήλαις. ὅθεν κέντρου λόγον ἐπέχειν αὐτὴν πρὸς τὰ ὅλα ἀναγκαῖον. τοῦτο δὲ καὶ τὰ τοῦ ζῳδιακοῦ δωδεκατημόρια συνίστησι. τὰ γὰρ ἓξ αὐτοῦ ὑπὲρ γῆν φαίνεται ἀκριβῶς, μηδεμίαν μοῖραν τοῦ ὕψους τὴν γῆν βάθους ἀποκρύπτοντος, ἀλλὰ μηδὲ πολλοστὸν μοίρας. καὶ εἰ γὰρ ἀκριβῶς

his, puncti uicem terram obtinere mundanæ magnitudini collatam. Vndique enim à terra tam æqualia uidentur, quàm forma ſimilia. Quod non eueniret, niſi omnes à terra ad cœlum productæ lineæ rectæ eſſent æquales, ut ſit neceſſe centri rationem terram habere. Quod etiam arguunt ſigniferi partes duodecim, quando ſemper ſupra terram ſex ſigna comparent, quam nullam leuat ab oculis terræ tumor, & ne ſcrupulum quidem partis ullum. Quandoquidem ſemper ſupra terram

ἀκριβῶς αἱ π' καὶ ρ' μοῖραι, ὑπὲρ γῆς εὑρίσκονται, καὶ τὸ τοῦ ἰσημερινοῦ δὲ ἥμισυ μέρος αἰεὶ ὑπὲρ γῆς ἐστίν. ὡς τοῦτο γνώριμον ἐκ τῶν ἰσημεριῶν, οὐδὲ ἀκαριαίῳ τῆς ἡμέρας ὑπὸ τῆς νυκτὸς πλεονεκτουμένης. ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ εἰς τὸ βάθος τῆς γῆς ἀπελαμβάνετό τι τοῦ ἰσημερινοῦ κύκλου, καὶ λόγον τινὰ πρὸς αὐτὸν εἶχον αἱ ὀκτὼ μυριάδες τοῦ βάθους τῆς γῆς. ὁρᾶται δὲ καὶ τοιοῦτόν τι ἐν τοῖς φαινομένοις. δύο εἰσὶν ἀστέρες καὶ τῇ χροιᾷ καὶ τὰ μεγέθη παραπλήσιοι, διαμετροῦντες ἀλλήλοις. ὁ μὲν γὰρ τοῦ σκορπίου ὁ δὲ τοῦ ταύρου,

τῇ ὑγν-

ram octoginta ſupra centum partes, è terra emerſis ſe ſpectantur: pars quoque æquinoctialis dimidia ſupra terram ſemper, ut uidere ex æquinoctijs licet, citra differentiam ullam. Quod non eueniret, ſi quid æquinoctialis terra demeret aſpectui, & octoginta milia, aliquam haberet terræ craßitudinis rationem ad cœlum, quod oculis quoq; uſurpatur. Sunt binæ ſtellæ tam colore, quàm magnitudine ſibi inuicem perſimiles, dimetiente oppoſitæ, Scorpij una, altera Tauri,

oriens

τὴν δὲ πεντεκαιδεκάτην ἐπέχει μοῖραν, μέρος ὢν τῶν ὑάδων. οὗτοι γὰρ ἀστέρες τὴν χροιὰν ὅμοιοί εἰσιν ἀστέρι, καὶ ἀεὶ περὶ ταῦτα ὄντες τοῦ ὁρίζοντος θεωροῦνται. ὁ μὲν ἀνίσχων, ὁ δὲ καταδυόμενος. ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μέρει τινὶ τοῦ ζωδιακοῦ τὸ βάθος τῆς γῆς ἐπιπροσθεῖν οἷόν τ' ἦν. περὶ ταῦτα γὰρ, τοῦ μὲν ἀνατέλλοντος, τοῦ δὲ καταδύοντος, προελάμβανεν ἂν ἡ τοῦ ἀνατέλλοντος δύσις τῆς τοῦ καταδύοντος ἀνατολῆς, παντὶ τῷ χρόνῳ, ὧν τὸ ἐπιπροσθούμενον ὑπὸ τοῦ βάθους τῆς γῆς, μέρος τοῦ οὐρανοῦ, ἀναγκαῖον ἂν γὰρ ἦν ἀνελθόντα,

Oriens tum una cum óccidit altera, quintūdecimum ſcrupulum tenens ad ſuculas, colore martiales, in finiente ſemper ambæ conſpicuæ. Quod non eueniret, ſi quā modo partem terræ ſurrectio, cœli demeret proſpectui, dum alia oriatur, alia óccidat. Præueniret enim ortus occaſum omni tempore terræ obiectus, cœli'que pars ea neceſſariò foret ad or-

θόντι, ὥστε τοῦ ὁρίζοντος ὀφθῆναι. οὐχ ἥκιστα δὲ καὶ ἀπὸ τῶν ὡρολογίων ἐλέγχεται ἡ γῆ, κέντρου λόγον ἐπέχουσα πρὸς τὴν ἡλιακὴν σφαῖραν. συμπεριέρχεται μὲν ἡ σκιὰ τῆς γῆς τῷ ἡλίῳ, ὡς καὶ ὅμηρος ἐναργῶς δηλοῖ λέγων οὕτως,

Ἐν δ᾽ ἔπεσ᾽ ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.

Διαμετροῦσα δὲ ἀεὶ τὸν ἥλιον, καὶ κωνοειδὴς ὑπάρχουσα, αὐτὸ τὸ ἄκρον τῆς σκιᾶς, τὸ κέντρον τοῦ ἡλίου, κατὰ διάμετρον ἔχει ἀναγκαῖον. καταγράφεται τοίνυν τὰ ὡρολό-

ad ortum emergēs conſpicua. At ab horologijs quoq; terra arguitur centri rationem obtinere ad ſolarem globum. Comitatur enim ſolem umbra terræ, ut Homerus quoq; perſpicuè oſtendit inquiens:

Labitur Oceano rutili lux ſplendida ſolis,
Terræ obductu nox atris circumuolat alis.

È regione ſemper ſoli oppoſita, ac turbinata, in ipſo extremo umbræ ſolis centrum dimetiens habeat neceſſe eſt. In terra igitur deſcribuntur horologia

m

ὡρολόγια ὑπὲρ τῆς γῆς ὑπὸ τῶν τεχνικῶν, ἔχοντα τὰς τῶν γνωμόνων σκιὰς, συμπεριινοστοῦσας τῇ σκιᾷ τῆς γῆς. καὶ δεῖ πάντα τὰ ἄκρα τῶν γνωμόνων, κέντρου λόγον ἐπέχειν πρὸς τὴν ἡλιακὴν σφαῖραν. ἐπεὶ οὖν μηδ' ἐν ὅστιν ὡρολόγιον δυνάμενον καταγράφεσθαι ἐν τῷ μεσαιτάτῳ αὐτῆς, ἀλλ' ἐν παντὶ μέρει αὐτῆς δύναται τὸ ὡρολόγιον καταγράφεσθαι, φανερὸν ὡς πᾶσα ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς τὸ ἡλιακὸν ὕψος, καὶ τὴν ἀπὸ τούτου νοουμένην σφαῖραν. φανερὸν δὲ, ὅτι μὴ δύναται μιᾶς σφαίρας πολλὰ εἶναι κέντρα.

τοῦτον

rologia à fabris, quæ umbras gnomonum habent, quæ cum terræ umbra pariter redeunt. Oportet autem cuncta gnomonum extrema ad ſolis globum, centri rationem obtinere. Quoniam igitur deſcribi non poteſt horologium in ipſo terræ medioxumo, in omni tamen eius parte poteſt deſcribi horologium, non dubium, quin tota terra ad ſolis faſtigium centri rationem obtineat, & ab hoc intellectum globum. Illud etiam manifeſtum, ab una ſphæra multa fieri centra non poſſe.

Hanc

τοῦτον οὖν τὸν λόγον ἔχουσι
οἱ πάντων τῶν δυναμέ-
νων ἐπὶ τῆς γῆς καταγράφεσθαι ὡρολογίων
γνώμονες, ὃν ἂν ἐπὶ εἰς
ἓν σημεῖον συναχθέν-
τες χοῖεν. ἐπεὶ οὖν μη-
δὲν μόριόν ἐστι τῆς γῆς, ἐν
ᾧ οὐκ ἂν ἐγχωροίη ὡρο-
λόγιον ἱδρυθῆναι, ὅλη
ἡ γῆ κέντρου λόγον ἐπέ-
χει πρὸς τὸ ἡλιακὸν ὕ-
ψος, καὶ τὴν ἀπὸ τούτου νοου-
μένην σφαῖραν. οὐ χρὴ
δὲ ἀπορεῖν ἐνταῦθα,
πῶς ἡ γῆ στιγμιαία οὖ-
σα πρὸς τὸ μέγεθος τοῦ
κόσμου, ἀναπέμπει τρο-
φὴν τῷ τε οὐρανῷ, καὶ
τοῖς ἐμπεριεχομένοις ἐν
αὐτῷ ἄστροις, τοσούτοις
καὶ τὸ πλῆθος καὶ τὸ μέγε-
θος οὖσι. τῷ γὰρ ὄγκῳ,
βραχεῖα

Hanc igitur habent ra-
tionem, qui deſcribi in
terra poſſunt horolo-
giorũ gnomones, quam
ad unum quoque pun-
ctum coacti obtinue-
rint. Quoniam igitur
pars terræ nulla eſt,
in qua non contingat
erigi horologium, tota
terra centri obtinet ra-
tionem, ad ſolare col-
lata faſtigium, & ab
eo intellectum glo-
bum. Hic ambigen-
dum non eſt, cur terra
puncti uicem gerens
ad mundi magnitudi-
nem, nutrimentum cœ
lo remittat, & cum eo
pariter meãtibus aſtris,
tot numero et magnitu
dine tãtis. Nam aceruo

 pauca

βραχεῖα οὖσα ἡ γῆ. τῇ δὲ δυνάμει, μεγίστη, σχεδὸν αὕτη τὸ πλεῖστον τῆς οὐσίας ὑπάρχουσα. εἰ γοῦν ἐπινοήσαιμεν αὐτὴν ἀπείρων ἢ εἰς ἀέρα, ἢ εἰς καπνὸν πᾶσαν ἀναλυομένην, καὶ πολὺ ἂν μείζων γένοιτο τῆς τοῦ κόσμου περιοχῆς. καὶ οὐ μόνον γε, εἰ καπνός, ἢ ἀήρ, ἢ πῦρ γένοιτο, πολλῷ πλείων ἂν τοῦ κόσμου γένοιτο, ἀλλὰ καὶ εἰς κονιορτὸν ἀναλυθεῖσα. πάρεστι γοῦν ὁρᾶν, ὅτι καὶ τὰ εἰς καπνὸν ἀναλυόμενα τῶν ξύλων, σχεδὸν ἐπ᾽ ἄπειρον χεῖται. καὶ ὁ ἐκθυμιώμενος λιβανωτός, καὶ ὁπόσα ἕτερα τῶν στερεῶν σωμάτων εἰς ἀτμὸν ἀναλύεται. καὶ εἰ τὸν οὐρανὸν σὺν τῷ ἀέρι

pauca quidem eſt terra, ſed poteſtate maxima, ut eſſentia ſit propè immenſa. Si igitur ipſam intelligamus immenſam, aut in fumum, aut in aërem reſolutam, multo maior euadet mundi complexu. Nec ſolum ſi fumus, aut aër, aut ignis fiat, multo plus fiet quàm mundus, ſed etiam in puluiſculum reſoluta. Licet enim nobis intueri etiam in fumum ligna reſoluta in infinitum ferè profundi. Fumigatū quoq; thus, & quælibet alia ſolida corpora in uaporem reſoluuntur. Et ſi cœlum cum aëre

καὶ τοῖς

καὶ τοῖς ἄστροις ἐπινοή-
σαιμεν συναγόμενον
εἰς τὸ τῆς γῆς πύκνωμα,
εἰς ἐλάττονα ὄγκον αὐ-
τὸ συσταλείη ἄν. ὥστε τῷ
μὲν ὄγκῳ ἡ γῆ στιγμιαία
ὡς πρὸς τὸν κόσμον οὖσα,
ἀφάτῳ δὲ τῇ δυνάμει
τετηρημένη, καὶ σχεδὸν
ἐπ᾽ ἄπειρον χεῖσθαι φύ-
σιν ἔχουσα, οὐκ ἔστιν ἀδύ
νατος ἀναπέμπειν τρό-
φὴν τῷ οὐρανῷ καὶ τοῖς
ἐν τῷ οὐρανῷ. οὐδ᾽ ἂν
ἐξαναλυθείη τούτου ἕνε
κα ἐν μέρει, καὶ αὐτὴ
ἀντιλαμβάνουσά τινα
ἔκ τε ἀέρος καὶ ἐξ οὐρα-
νοῦ. ὁδὸς γὰρ ἄνω κάτω
φησὶν ὁ ἡράκλειτος, διὰ
ὅλης τρέπεσθαι τὴν μετα-
βάλλειν πεφυκυίας εἰς
πᾶν, ὑπὸ δημιουργοῦ
ὑπεικοῦ-

*& aſtris intelligamus
collectũ in terræ con-
cretionem, in aceruum
ipſa minorem corripie-
tur. Proinde aceruo
quidem terra puncti ui
cem gerit mundo col-
lata: at poteſtate ineffa-
bilis, & propè in infi-
nitum eius natura dif-
funditur, ut impos non
ſit alimentũ cœlo remit
tere, et eis quæ in cœlo
ſunt, nec tamẽ ideo ab-
ſumitur. In parte ipſa
quoq; quæpiã ſibi aſſu-
mẽs ex aêre et ex cœlo.
Via nanq; ſurſum ac de
orſum, inquit Heracli-
tus, per uniuerſam uer
titur eſſentiam, uim mu
tationi agnatã habens,
per uniuerſum opifici*

ὑπακούσης, εἰς τὴν τῶν ὅλων διοίκησιν καὶ διαμονήν. πρὸς μὲν οὖν τὸ ἡλιακὸν ὕψος, σημείου λόγον ἐπέχειν ἡ γῆ. πρὸς δὲ τὴν σεληνιακὴν σφαῖραν, κατασκευάζοντες τινὲς, ὅτι μὴ σημείου λόγον ἐπέχει, τοιούτοις χρῶνται ἐπιχειρήμασιν.

οὐ φαίνεται, φασὶ, τὰ διαστήματα αὐτῆς τὰ πρὸς τὰ ἄστρα, ἴσα κατὰ πᾶν κλίμα. ἀλλὰ τῇ αὐτῇ ὥρᾳ, παρ' οἷς μὲν μείζονα, παρ' οἷς δὲ ἐλάττονα. ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ αἱ προσπίπτουσαι ἀπὸ τῆς γῆς εὐθεῖαι πρὸς τὸ σεληνιακὸν ὕψος, ἴσαι ὑπῆρχον. ἴσα γὰρ ἂν καὶ τὰ διαστήματα ἐφαίνετο. τιθέντες

obtemperans ad omnium diſpenſationem ac permanentiam. Ad ſolare itaq; faſtigium puncti rationem habere quidam confirmarunt, huiuſmodi innixi aggreſſionibus, ratiocinationibusq;.

Non apparent (inquiunt) eius interualla ad aſtra æqualia, per omne clima, ſed eâdem hora apud alios maiora, apud alios minora. Quod non eueniret, ſi protenſæ à terra rectæ lineæ ad luminare faſtigium, æquales forent. Aequalia nanque etiam interualla apparerent. Ponunt

τίθενται δὲ καὶ τὴν τοῦ ἡλίου ἔκλειψιν, τούτου σημεῖον, οὐ παρὰ πᾶσιν ἀνθρώποις ἐπίσης ἐκλείποντος αὐτοῦ, ἀλλὰ πολλάκις παρ' οἷς μὲν ὅλου, παρ' οἷς δὲ κατὰ μέρος, παρ' οἷς δὲ οὐδ' ὅλως. οὐδὲ τούτου ἂν συμβαίνοντος, εἰ στιγμιαία ἦν πρὸς τὸ ὕψος αὐτῆς ἡ γῆ. ἀλλὰ μὴ ἀξιόλογον εἶχε τὸ διάστημα. καὶ οὕτως, οἷς μὲν τελέως, οἷς δὲ κατὰ μέρους, οἷς δὲ οὐδ' ὅλως ἐπισκοτεῖ ἡ σελήνη. ἔνιοι λέγοντες, μὴ ἐπέχειν σημείου λόγον τὴν γῆν πρὸς τὸν οὐρανὸν διαλαβεῖν, τοιούτοις χρῶνται ἐπιχειρήμασι. φασίν, ὅτι ἡ ὄψις εἰς ὕψος ἐξαιρομένη, τὰ ἐν τοῖς ἐπιπέ-

Ponunt uerò etiam ſolis defectum huius rei ſignum, non apud omnes ipſo deficiente, ſed plerunque apud alios totus occultatur, apud alios pars, apud alios non omnino. Neque id contigerit, ſi puncti uicem gerat terra ad lunæ faſtigium. Cæterum non ingens habet interuallum, & perinde alijs quidem abſolutè, alijs uerò in parte, alijs porrò non prorſus opaca euadit luna. Qui uerò aiunt, non obtinere puncti rationem terram, his utuntur aggreſſionibus, dicentes, uiſus in ſublime ſublatus, in planis

ἐπιπέδοις οὐ θεωρούμενα, ἀλλ' ὑπὸ τοῦ ὁρίζοντα κεκρυμμένα, θεωρεῖ, ὅσον ὑψηλότερα ἐπαίρεται μᾶλλον. ὥστε οὐκ ἀπὸ παντὸς μέρους τῆς γῆς εἰς ἴσα διαιρεῖται ὁ οὐρανός. ὃ δοκεῖ τεκμήριον εἶναι, τοῦ λόγον σημείου τὴν γῆν μὴ ἐπέχειν πρὸς τὸν οὐρανόν. ῥηθέον οὖν πρὸς τοῦτο, ὅτι τὸ σχῆμα τῆς γῆς περιφερὲς ὂν, τούτου αἴτιον γίνεται. ὥστε καὶ εἰ σταδιαία τὸ μέγεθος ἦν ἡ γῆ, μέση κειμένη ὁμοίως καὶ περιφερὴς οὖσα. τὸ ὅμοιον ἂν συνέβαινε. καὶ οὐ λείπου συνεχώρει ἂν λέγειν, ὅτι μηδὲ ἡ οὕτως βραχεῖα, σημείου λόγον ἐπέχει πρὸς τὸν κόσμον. τὸ

σχῆμα

planis non perfecta, ſed ſub finiente occultata, inſpicit quãto ſublimiora attolluntur. Proinde non ab omni terræ parte in partes æquales dirimitur cœlum, quæ uidetur portio eſſe puncti rationem terra non obtinentes. Huic igitur ambiguitati ita eſt occurrendum, quòd terræ figura cum ſit circularis, huius rei cauſa eſt, quamobrem ſi terræ magnitudo ſit ſtadiæa, mediũ obtinens, & circuloſa, idẽ quoq; eueniret, nec quicq̃ dicendũ eueniret: quia neq; ita pauca puncti rationem admodum obtineret.

Figura

σχῆμα οὖν τούτου αἴτιον ἡγητέον. καὶ εἰ τις ἀπὸ παντὸς σημείου τῆς γῆς, ἐπίπεδον ἐκβάλλει τῇ ἐπινοίᾳ, οὐκ ἂν πλέον καὶ ἔλαττον τοῦ κόσμου ὑπὲρ γῆς ὀφθείη, ἀλλὰ ἴσον καὶ ἀπὸ ὕψους καὶ ἀπὸ τῶν χθαμαλῶν. τὰ μὲν τὰ μεγέθη τῶν ἄστρων ἴσα φαίνεται, καὶ ἀπὸ ὕψους καὶ ἐκ θαλάσσης. τάχα δ᾽ ἄν τις κἀκεῖνο φήσειεν ἐνταῦθα, διότι ἐκ τῶν πεδίων καὶ τῆς θαλάσσης, εἰ μὴ ἐθεωρεῖτο τὸ ἡμικόσμιον ὑπὲρ γῆς, ἀπὸ γε μόνων τῶν ὑψηλοτάτων, τάχα ἂν εἶχε τό τινος λόγου τὸ ἀπ᾽ αὐτῶν λεγόμενον, ἀπό γε τῶν ὑψηλοτάτων, εἰς δύο ἴσα διαιρουμένου τοῦ κόσμου,

Figura igitur huius cauſa eſſe exiſtimanda eſt. Ac ſi quis ab omni terræ puncto planum opinatione educat, non plus aut minus mundi ſupra terram perſpexerit, ſed æqualiter, & à ſublimi, & ab humilibus locis. magnitudines certè aſtrorũ æquales apparent, & ab editiſsimis locis, & ex mari. Illud hic fortaſſe quiſpiã dixerit, quoniã ex cãpis & mari, ſi nõ ſpectetur hemicoſmiũ ſupra terrã, à ſolis certè editiſsimis locis fortè habuerit quod ab ipſis dictũ rationẽ aliquã, ut ab editiſsimis locis in duas partes æquales diuiſo mundo,

κόσμου, ἐκ δὲ τῶν χθαμαλῶν, οὐκέτι, ἀλλὰ μείονος τοῦ ὑπὲρ γῆς φαινομένου. νυνὶ δὲ, οὐδὲν πρὸς λόγον ἐστὶν, εἰ ὑψουμένης τῆς ὄψεως τὸ πλέον ὑπὲρ γῆς θεωρεῖται, τοῦ σφαιροειδεῖ τῷ γῆς σχήματι τούτου γινομένου ἀναγκαίως. τεκμήριον γὰρ ποιεῖσθαι (εἰ ἄρα δεῖ) τοῦ μὴ εἶναι τὴν γῆν πρὸς τὰ ὅλα στιγμιαίαν, οὐκ εἰ πλέον τοῦ κόσμου ἢ τὸ ἥμισυ ἐξαιρομένης τῆς ὄψεως ὁρᾶσθαι δυνατόν, ἀλλ᾽ εἰ μὴ ἐκ τῶν ἐπιπέδων τὸ ἴσον αὐτοῦ ὑπὲρ γῆς ὁρᾶται. τῶν μὲν ἐκ τῶν χθαμαλῶν ὁριζόντων, ἐπιπέδων ὄντων. τῶν δὲ ἐξ ὕψους ὁρωμένων, κωνοειδῶν

καὶ

mundo, & ex deiectis ac humilibus nequaq̃, ſed ſupra terram maior appareat. Nũc uerò ad hanc rationẽ nihil eſt, ſi ſublato uiſu plus ſupra terram ſpectatur, eueniente hoc neceſſario in globoſa terræ figura. Inde poſſumus coniectare, terram dicendam non eſſe eiuſmodi, ut collata uniuerſo puncti uicem gerat: non etiam, ſi plus mundi quàm dimidium ſublato uiſu ſpectari potuerit. Cæterum ſi non ex planis ipſius æquale ſupra terrã ſpectatur, ex humilib. quidẽ ubi ſint plani finiẽtes: è ſublimi aũt ſpectatis, & qui tur

binati

καὶ ὄντων καὶ καλουμένων. φασὶ δὲ πρὸς τοῖς εἰρημένοις, διότι μὴ δ' ἂν τὰ μὲν κατέψυκτο, τὰ δὲ διεκέκαυτο, τὰ δὲ εὔκρατα μέρη τῆς γῆς ὑπῆρχεν, εἰ μὴ ἀξιόλογα εἶχε τὰ διαστήματα πρὸς τὴν ἡλιακὴν σφαῖραν. ἀλλ' οὐδ' ἂν ἐλέγετο προσιέναι ἡμῖν, καὶ πάλιν ἀποχωρεῖν ὁ ἥλιος, στιγμιαίας οὔσης τῆς γῆς. ῥητέον οὖν πρὸς ταῦτα, ὅτι καὶ τούτων πάντων τὸ σχῆμα τῆς γῆς αἴτιόν ἐστι. παρὰ γὰρ τὸ, πῶς ἀποπέμπεσθαι τὰς ἡλιακὰς ἀκτῖνας ἐπὶ τὰ τῆς γῆς κλίματα, διακέκαυταί τινα, τὰ δὲ κατέψυκται, καὶ εὐ-
κρασίας

binati ſint & appellentur. Ad ea inſuper quæ dicta ſunt, aiunt quidã, quia neq; alia quidẽ inhorreſcerent gelu, alia uerò torrerentur æſtu, & alia loca eſſent temperata, niſi ſatis magna haberet interualla ad ſolarem globum. At ne quidẽ diceretur ad nos accedere ſol, rurſusq; abire, ſi terra puncti uicem gereret. Occurrendũ igitur, hisq; reſpondendum, horum omnium terræ figuram cauſam eſſe. Nam ex iaculatu tali ſolarium radiorum ad terræ climata, & torrentur partes aliæ, & refrigerantur aliæ, & tem-
periem

κρασίας ἐχόμενα δ' ἐστι, τούτου καὶ ἐν τοῖς μερικωτέροις, καὶ πρὸς ὀλίγον ἀπ' ἀλλήλων διεστῶσι θεωρουμένου. τινὰ γοῦν τῶν περὶ τὴν ἦλιν καυσώδη ἐστὶ τῆς παρακειμένης ἀχαΐας, οὐκ ἔτι τὸ πνιγῶδες ἐχούσης· ὥστε καὶ εἰ βραχεῖα ἦν γῆ, τὸ παραπλήσιον ἂν συνέβαινε, μὴ ὅμοιον ἐπὶ πάντα τὰ κλίματα αὐτῆς, τῶν ἀκτίνων καταπεμπομένων. ἀλλὰ ἐφ' ὧν μὲν τὸ ὀρθὸν καὶ ἔντονον ἀπὸ τῆς ἀκτῖνος ἐχόντων. ἐφ' ὧν δὲ τὸ πλάγιον καὶ ἀνειμένον, καὶ τὸ προσιέναι ἡμῖν καὶ πάλιν ἀποχωρεῖν τὸν ἥλιον, κατὰ τὴν πρὸς τὴν κορυφὴν λέγεται σχέσιν.

ἐπεὶ

periem aliæ conſequuntur. Quod planè nobis licet perſpicere in magis particularibus locis, & parũ admodum inter ſe inuicem diſtantibus. quædã nimirũ loca circa Helim exuſta ſunt, adhærente Achaia, nihil habente ſuggilloſum, ut ſi etiam paucula ſit terra, id propemodum euenturum ſit, non æquè in cuncta eius climata diſperſis radijs, ſed loca alia rectum & ualidum ex radio ſolem admittũt, alia autem obliquum & remiſſum, modò ad nos accedendo, modò recedẽdo ſol ad uerticẽ dicitur habere affectionẽ.

Quan-

ἐπεὶ αἵ γε ἐκβαλλόμεναι ἀπὸ τῆς γῆς εὐθεῖαι, πρὸς καρκῖνον καὶ αἰγόκερων, ἴσαι εἰσὶν ἀλλήλαις. καὶ ὅτι μὲν κέντρου λόγον ἐπέχει ἡ γῆ, διά τε τούτων καὶ ἑτέρων πολλῶν δείκνυται. προειρηκότες δὲ ἐν τῷ πρώτῳ τῶν ἐπιχειρημάτων, ὡς καταπολὺ μείζων ὁ ἥλιος ὢν αὐτῆς, ὅσον ποδιαίαν ἡμῖν φαντασίαν ἀποπέμπει. ἑξῆς αὐτὸ τοῦτο ἐπιδεῖξαι ὀφείλομεν, ὅσα ἐν τοιαύτῃ εἰσαγωγῇ αὐτάρκη μὲν, προφερόμενοι ἰδίᾳ τινῶν, περὶ μόνου τούτου συντάγματα πεποιηκότων, ὧν ἐστι καὶ ποσειδώνιος.

ΚΛΕΟ-

Quandoquidem quæ à terra eijciũtur rectæ lineæ, ad cancrum & capricornum inter ſe inuicem ſunt æquales. Quodq́; centri habeat terra rationem, his atq; alijs multis demonſtratur argumẽtis. Præfati ſumus in primo Epichirematum, quemadmodũ multo maior eſt ſol quàm terra, tametſi pedalẽ nobis uidetur referre imaginẽ, id mox demonſtrare moliemur quantũ huic ſatis uidebitur inſtitutioni, promẽdo præcipuas quaſdam de hoc ſole nõnullorum indagines, inter quos præcipuus nobis author Poſidonius.

CLEO-

ΚΛΕΟΜΗΔΟΥΣ κυκλικῆς θεωρίας μετεώρων βίβλιον β.

Ἐπίκουρος δὲ καὶ οἱ λοιποὶ τῶν ἀπὸ τῆς αἱρέσεως, τηλικοῦτον εἶναι τὸν ἥλιον ἀπεφήναντο, ἡλίκος φαίνεται, αὐτῇ τῇ διὰ τῆς ὄψεως φαντασίᾳ κατακολουθήσαντες, καὶ ταύτην τοῦ μεγέθους αὐτοῦ κριτήριον ποιησάμενοι. πάρεστιν οὖν ὁρᾶν, τὸ ἀκόλουθον τῇ ἀποφάσει αὐτοῦ. εἰ δὲ τηλικοῦτός ἐστιν, ἡλίκος φαίνεται, οὐκ ἄδηλον, ὡς πολλὰ ὁμοῦ μεγέθη περὶ αὐτὸν θήσεται. ἀνατέλλων μὲν γὰρ καὶ καταδυόμενος, μείζων φαίνεται. μεσουρανῶν δὲ, μικρότερος. ἀπὸ δὲ τῶν

CLEOMEDIS Cyclicæ inſpectionis meteororū Liber Secundus.

EPicurus, & eiuſdem factionis pleriq; alij, tantillum eſſe ſolem pronunciarunt, quantus apparet, uiſus ſequentes imaginem, quam eius magnitudinis iudicem conſtituerūt. Par eſt igitur quod abnegant, nobis inſpicere. Si tātillus eſt ſol, quātus nobis apparet, non dubium quin multæ ſimul ipſum magnitudines concipiant. Si quidē tam oriens quàm occidens maior apparet, at medium nactus cœlum, minor: ex editiſſi-

ἐκ τῶν ὑψηλοτάτων μερῶν ὁπόταν ἀνατέλλῃ, μέγιστος φαντάζεται. ἢ τοίνυν δεήσει λέγειν αὐτοὺς, ὅτι πολλὰ περὶ αὐτὸν ὁμοῦ μεγέθη ἐστίν. ἢ εἰ τοῦτο φανερῶς ἄτοπόν ἐστιν, ἀναγκαιότατον ὁμολογεῖν αὐτοὺς, ὅτι μή ἐστι τηλικοῦτος, ἡλίκος φαίνεται. ἔνιοι δέ φασιν, ὅτι μείζων ἡμῖν ἀνίσχων καὶ δυόμενος φαντάζεται, πλατυνομένου τοῦ πυρὸς αὐτοῦ ὑπὸ τοῦ ἀέρος, κατὰ τὴν τῆς ἀνόδου ῥύμην. τοῦτο δ' ἐσχάτης ἔχεται ἀπαιδευσίας. ἡ γὰρ γῆ μεσαιτάτη τοῦ κόσμου κειμένη, καὶ κέντρου λόγον ἐπέχουσα, ἀπὸ παντὸς μέρους τὸ ἴσον ἀπέχει τῆς ἡλιακῆς σφαίρας.

editiſſimis montibus cũ exoritur, maximus apparet. Aut igitur ipſos fateri oportet, magnitudines ipſum multas ſimul obtinere: aut ſi id perſpicuè abſurdum ſit, manifeſtò concedendum eſt ipſis, tantillum non eſſe quantus appareat. Sunt autem qui dicant, maiorem nobis in ortu & occaſu imagine deprehendi, latè eius igni explicato, ab aëre per aſcenſus fluxum: quod extremæ prorſus eſt imperitiæ. Terra nanque mundi medioxumum obtinens, & centri rationem, undique à ſolari globo peræquè abeſt,

σφαίρας. καὶ οὔτε περὶ τὴν ἀνατολὴν, οὔτε περὶ τὴν δύσιν, οὔτε κατ' ἄλλο τι τῆς πορείας μέρος ὁ ἥλιος πελάζει τῷ ἀέρι. ἀλλ' οὐδὲ περὶ ταυτὸ ἅμα πᾶσιν ἀνατέλλει. ἀλλὰ τῆς γῆς σφαιρικῷ τῷ σχήματι κεχρημένης, ἄλλο τε παρ' ἄλλοις καὶ ἀνίσχει, καὶ δύεται, καὶ μεσουρανεῖ. ὥστε ἐπεὶ ἐγχωρεῖ παρ' οἷς μὲν ἀνατέλλειν αὐτὸν, παρ' οἷς δὲ μεσουρανεῖν, ὁμοῦ ἔσται μείζων καὶ μικρότερος γενήσεται. μείζων μὲν, οἷς ἀνατέλλει. μικρότερος δὲ, οἷς μεσουρανεῖ, περὶ τὴν αὐτὴν ὥραν. ὧν οὐδὲν οὐδὲν ἀλογώτερον. τὰ μὲν οὖν τοιαῦτα τῶν ὑποφερομένων, ἐσχάτων μὲν

abeſt, neque oriens, neque occidens, neque in quapiam alia itineris parte ſol aëri proximus accedit: ſed ne quidem per idem tempus omnibus exoritur, cum globoſæ ſit terra figuræ, aliàs apud alios & oritur, & occidit, & medium obtinet cœlum. Proinde cum incedit apud alios oriens, et apud alios medium tenens cœlum, ſimul & maior et minor fiet. Maior quidē quibus oritur. minor uerò quibus medium tenet cœlum, eodem horæ momento, quo nihil eſt putidius. Talia igitur quæ iactantur, ſunt inanitatis extremæ,

μὲν ἐσχατὰ καὶ ἐκφηνώδη. μείζων δὲ ἡμῖν ὁ ἥλιος, ἀνίσχων καὶ δυόμενος φαντάζεται, ἐλάττων δὲ κατὰ τὸ μεσουράνημα. ἐπειδὴ πρὸς μὲν τῷ ὁρίζοντι, ὁρώμενος αὐτοῦ διὰ παχυτέρου τοῦ ἀέρος, καὶ νοτερωτέρου μᾶλλον, (τοιοῦτος γὰρ ὁ προσγειότερος ἀήρ) μεσουρανοῦντα δὲ, διὰ καθαρωτέρου. καὶ οὕτως ἐνταῦθα μὲν, ἡ ἀπὸ τῶν ὀφθαλμῶν ἀποπεμπομένη ἐπ' αὐτὸν ἀκτὶς, οὐ περικλᾶται. ἡ δὲ ἐπὶ τὸν ὁρίζοντα ἀποπεμπομένη, ὁπότε ἀνίσχοι καὶ δύοιτο, περικλᾶται ἀναγκαίως, παχυτέρῳ καὶ νοτερῷ τῷ ἀέρι ἐντυγχάνουσα. καὶ οὕτως μείζων ἡμῖν φαντάζεται

extremæ, atque ſocordiæ. Maior itaque nobis ſol & occidens imagine concipitur, mi'norque cum medio cœli inuehitur ſpacio. Cũ ipſum finienti propinquum ſpectamus, ob aëris craßitudinem & humiditatem, talis nanque aër terræ uicinior. At medium tenens cœlum purgatior, ita hic ab oculis dimiſſus ad ipſum radius non refringitur, ſed ad finientem emiſſus, cum orietur aut occidet, confringatur neceſſe eſt, in craßiorem & humidiorem aërem incurrens. Atque ita maior nobis ſol occurrit ex

τάζεται ὁ ἥλιος. ὥσπερ ἀμέλει καὶ τὰ καθ' ὕδατος ὄντα, ἀλλοιότερα, ἢ ἔστι, φαντάζεται ἡμῖν, διὰ τὸ μὴ καθ' εὐθυωρίαν ὁρᾶσθαι. πάντα οὖν τὰ οὕτως ἔχοντα, πάθη τῆς ἡμετέρας ὄψεως ἡγητέον, ἀλλὰ μὴ μὰ διὰ τῶν ὁρωμένων συμπτωμάτων. λέγεται δὲ καὶ ἐκ βαθέων θεωρούμενος φρεάτων ὁ ἥλιος, ὅπου γε τοῦτο ἐγχωρεῖ, πολὺ μείζων φαντάζεσθαι, ἅτε διὰ νοτεροῦ τοῦ ἐν τῷ φρέατι ἀέρος ὁρώμενος. καὶ οὐδὲ ἤπου ἔνεστιν εἰπεῖν ἐνταῦθα, ὅτι τοῖς μὲν ἐκ φρέατος ὁρῶσι μεγεθύνεται ὁ ἥλιος, τοῖς δὲ ἄνωθεν εἰς αὐτὸν ἀφορῶσι σμικρύνεται.

ἀλλ

rit ex imagine, quemadmodum quæ in aqua merguntur, ſolent. Alterius qualitatis ex imagine nobis apparent, quod recto ſpectentur obtutu. Quæcunq; igitur ita habent, noſtri uiſus ſunt exiſtimandæ paßiones, nõ eorũ quæ ſpectantur accidentia. Ferturquoq; de profundis ſpectatus ſol puteis, ubi id uſu euenerit, multo maior cõcipi ex imagine, utpote per humidiorem puteo ſpectatus aërẽ. Neq; eſt quod hic dicas, ex puteo ſpectantibus magnitudine ſolẽ grandeſcere, ſupernè uerò in ipſum cõijcientibus oculos attenuari.

At

ἀλλ' εὔδηλον, ὡς τὸ σκοτεινὸν καὶ ἰκμῶδες ἐχόμενον τὸ ἐν τῷ φρέατι ἀέρος, μείζονα ποιεῖ αὐτὸν φαντάζεσθαι τοῖς ὁρῶσι. διάστημα δὲ αὐτοῦ μεῖζον καὶ ἔλαττον ἡμῖν φαντάζεται. μεσουρανῶν μὲν, ἔγγιστα φαντάζεται ἡμῖν. ἀνατέλλων δὲ καὶ καταδυόμενος, πορρωτέρω. ἀπὸ δὲ τῶν ὑψηλοτάτων ὀρῶν, ἔτι πλέον ἀφεστὼς φαίνεται. καὶ ὅπου μὲν ἐγγὺς, καὶ σμικρότατος. ὅπου δὲ πλέον ἡμῖν τὸ ἐπ' αὐτὸν διάστημα φαντάζεται, καὶ αὐτὸς μείζων εἶναι δοκεῖ τῆς περὶ τὸν ἀέρα ποιότητος, πάντων τῶν τοιούτων αἰτίας γινομένης. διὰ μὲν γὰρ νοτερωτέρου καὶ παχυ-

At certum eſt, tenebricum & humectum in puteo aërem, maiorem ſpectantibus ipſius obijcere imaginē. uerùm ipſius interuallum maiorem & minorē uiſui obijcit. Mediū enim tenens cœlum, proximus nobis uideri datur: oriens autem & occidēs, longinquior. Sed ab editiſsimis montibus multo apparet eſſe remotior, & ubi propè quidē apparet, etiā perexiguus, ubi plus nobis ad ipſum uidetur interuallum, ipſeq; maior eſſe exiſtimatur, ex aëris qualitate, omnium huiuſmodi cauſa adueniente. nam per humidiorem & craſsio-

παχυτέρου ἀέρος ὁρώμενος, μείζων ἡμῖν καὶ πλέον ἀφεστὼς φαίνεται. διὰ δὲ καθαροῦ, ἐλάττων τῷ μεγέθει, καὶ ἔγγιον τὸ διάστημα. ὥστε εἰ δυνατὸν ἦν ἡμῖν, φησὶν ὁ ποσειδώνιος, διά τε τοίχων στερεῶν, καὶ τῶν ἄλλων σωμάτων ὁρᾶν, ὡς ὁ λυγκεὺς μυθεύεται, κατὰ πολὺ μείζων ἂν ἐφαντάζετο ἡμῖν ὁ ἥλιος, διὰ τούτων ὁρώμενος, καὶ πολὺ μεῖζον διάστημα ἀφεστώς. μείζονος δὲ αὐτοῦ καὶ ἐλάσσονος φαινομένου ἡμῖν, καὶ ὁμοίως τῶν καθ' αὐτὸν διαστημάτων μειζόνων τε καὶ μειόνων, ὁ κατ' ἀλήθειαν ἐπιβάλλων αὐτῷ κῶνος ἀπὸ τῶν ἀπὸ γῆς ἀποχεο-

craßiorem perſpectus aërem, maior nobis & plus abeſſe uidetur: per aërem uerò purum minor magnitudine, & interuallo proximus. Proinde ſi fieri poßit, inquit Poſidonius, ut per ſolidos parietes, per'que alia ſpectemus corpora, ut in fabulis Lynceus, multo maior nobis ſol imagine conciperetur, per ea perſpectus, maiore'que abeſſe crederetur interuallo. Maiore autem ipſo & minore apparente nobis, itidemq; eiſdem nobis interuallis maioribus ac minoribus, re ipſa conus in ipſum iactus, ab effuſis

ἀπερχομένων ἀκτίνων τῆς ὄψεως, μέγιστός ἐστιν ἀναγκαίως. συναγομένου δὲ καὶ τοῦ μεγέθους αὐτοῦ καὶ τοῦ διαστήματος κατὰ φαντασίαν εἰς ἐλάχιστον, δυνάμεθα δύο κώνους ἐπινοεῖν. ἕνα μὲν τὸν καθ' ἀλήθειαν αὐτῷ ἐπιβάλλοντα, ἕτερον δὲ τὸν κατὰ φαντασίαν. ὧν κορυφὴ μὲν γενήσεται μία πρὸς τῇ κόρῃ τῆς ὄψεως. βάσεις δέ, ἡ μὲν καθ' ἀλήθειαν, ἡ δὲ κατὰ φαντασίαν. ὡς οὖν ἕξει ἡ καθ' ἀλήθειαν ἀπόστασις πρὸς τὴν φαινομένην, οὕτως ἕξει καὶ τὸ καθ' ἀλήθειαν μέγεθος πρὸς τὸ φανταζόμενον ἡμῖν. αἱ γὰρ βάσεις τῶν κώνων, ἴσαι ταῖς διαμέ-

effuſis à uiſu radiis exuberans ſit neceſſe eſt. Collecta *uerò etiam eius magnitudine atq; interuallo, ex uiſione, in minimum poſſimus binos conos intelligere, unum quidem re ipſa ei coniectum, alterum ex uiſione, quorum uertex quidē unus fiet in uertice uiſus, ſed baſes eiuſmodi, ut una ſit re ipſa, altera uiſione. Vt igitur habebit re ipſa diſtantia ad uiſionem deprehenſam, ita etiam habebit re ipſa magnitudo, ad id quod nobis uiſione conceptum eſt.* Nam *conorum baſes ſunt, dimetientibus nempe diame-*

τροις εἰσίν. ἡ μὲν τῇ καθ' ἀλήθειαν, ἡ δὲ τῇ κατὰ φαντασίαν. ὡς οὖν ἔχει τὸ καθ' ἀλήθειαν διάστημα, πρὸς τὸ κατὰ φαντασίαν, οὕτως ἔχειν δεῖ καὶ τὸ καθ' ἀλήθειαν μέγεθος, πρὸς τὸ φανταζόμενον. τὸ δὲ καθ' ἀλήθειαν διάστημα, τοῦ κατὰ φαντασίαν σχεδὸν ἀπειρομείζόν ἐστιν, σημείου λόγον ἐπεχούσης τῆς γῆς πρὸς τὸ ἡλιακὸν ὕψος, καὶ τὴν ἀπ' αὐτοῦ νοουμένην σφαῖραν. καὶ τὸ καθ' ἀλήθειαν ἄρα μέγεθος, τοῦ κατὰ φαντασίαν μεγέθους ἀπειρομείζον εἶναι, ἀναγκαιότατόν ἐστιν. οὐκ ἄρα τηλικοῦτός ἐστιν ὁ ἥλιος, ἡλίκος φαίνεται. καὶ

tris æquales: una quidem re ipſa, altera uerò uiſione. Vt ergo habet re ipſa interuallum, ad id quod ex uiſione, ita etiam habere oportet, quæ re ipſa magnitudo ad eam quæ uiſione. At re ipſa interuallum ad id quod uiſione, propemodum infinities maius eſt, puncti rationẽ habente terra ad ſolare faſtigium, & ab ipſo intelligentia perceptum globum. Ergo re ipſa magnitudo, ex uiſione magnitudine, infinities maior ſit, maximè neceſſarium eſt. Non ergo tantillus eſt ſol quantus uidetur.

Præte-

ται. καὶ μὴν, εἰ τηλικοῦτός ἐστιν ὁ ἥλιος, ἡλίκος φαίνεται, ἂν ἐπινοήσωμεν αὐτὸν διπλασίονα γενόμενον, εἰς δύο διαιρουμένου, ἑκάτερον αὐτοῦ τῶν μερῶν, ποδιαῖον γενήσεται. ὥστε εἰ καὶ ἐπὶ τοσοῦτον ἐπινοήσαιμεν αὐξανόμενον αὐτὸν, ὡς ἐπὶ μυριάδων ἑκατὸν σταδίων διάστημα ἐκτείνεσθαι, ἕκαστον αὐτοῦ τῶν ποδιαίων μερῶν, ἡλίκον ἐστὶ φανήσεται. εἰ δὲ τοῦτο, ἀκόλουθον ἂν εἴη καὶ αὐτὸν τηλικοῦτον, ἡλίκος ἐστὶ φαίνεσθαι. τούτου προδήλως ἀδυνάτου ὄντος. οὐ γάρ οἷόν τ' ἐπὶ τοσοῦτον ἐξικνεῖσθαι δυνάμεως τὴν ἀνθρωπίνην ὄψιν, ὡς τὰ ἐπὶ μυριάδας

Præterea ſi tantillus eſt ſol quantus apparet, ſi ipſum intelligamus duplum effectum, in duos diuiſi utralibet pars, pedalis apparebit. Proinde & ſi in tantum intelligamus ipſum excreuiſſe, ut ad centies dena milia ſtadiorum ipſius utraque interuallo explicetur, pars pedalis quanta eſt, apparebit. Quod ſi fuerit, conſequens erit, etiam ipſum apparere quantus eſt. quod perſpicuè impoßibile eſt. Neque enim fieri poteſt, ut in tantam perueniat poteſtatem uiſus humanus, ut ad centies

ριάδας ἑκατὸν σταδίων ἐκτεταμένα, τηλικαῦτα ἡμῖν, ἡλίκα μὲν καθ' ἀλήθειαν, φαίνεσθαι. ἐπεὶ καὶ αὐτὸς ὁ κόσμος, σχεδὸν ἀπειρομεγέθης ὤν, ἐλάχιστος ἡμῖν φαντάζεται. ἐπεὶ δὲ νῦν τὰ ἀκολουθοῦντα, τὸ ποδιαῖον εἶναι τὸν ἥλιον, ἀδύνατά ἐστιν· ἀδύνατον, ποδιαῖον εἶναι αὐτόν. οὐδὲ γὰρ ἐκεῖνο ἔνεστιν εἰπεῖν, ὅτι τοῦ ἡλίου ὑπὸ τοσοῦτον διάστημα ἐκτεταμένου, ἔνια μὲν αὐτοῦ τῶν ποδιαίων μερῶν, τηλικαῦτα φαίνεσθαι, ἡλίκα ἐστίν. ἔνια δ' οὐχ οὕτως ἔχει. τὰ γὰρ ἀπὸ τῆς γῆς διαστήματα, πρὸς πάντα τὰ μόρια αὐτοῦ, ἴσα γενήσεται, κέντρου λόγον ἐχούσης

centies dena milia ſtadiorum extendantur tanta, quanta re ipſa appareant, quia mundus ipſe propè infinitæ magnitudinis, minimus nobis uiſione concipitur. Quoniam igitur fieri non poteſt, ut ſol pedalis uideatur, ipſum pedalem eſſe impoßibile eſt. Nec enim illud poßis dicere, ſol tanto diſtante interuallo, ſint ipſius pedales partes, quæ tantillæ appareant quantæ ſunt, aliæ autem nõ ita habeãt. nam à terra interualla ad eius omnes partes æqualia erunt, centri rationẽ habente

πρὸς

πρὸς τὴν ἡλιακὴν σφαῖραν. ὥστε πάντα δεήσει τὰ ποδιαῖα μέρη αὐτοῦ, ἡλίκα ἐστὶ φαίνεσθαι, καὶ οὐδὲν μᾶλλον τάδε τινά, τῶν δὲ τινῶν. ὥστε πάντων τῶν ποδιαίων αὐτοῦ μερῶν τηλικούτων φαινομένων ἡλίκα ἐστί, καὶ αὐτὸς ὅλος ἐπὶ τοσοῦτον ἐκταθείς, ἡλίκος ἐστί, φανήσεται. ὃ περιδήλως ἀδυνάτου ὄντος, οὐδὲ τὰ ποδιαῖα μέρη αὐτοῦ φανήσεται, ἡλίκα ἐστί. ἀλλ᾽ οὐδ᾽ ὅλως φανήσεται. ὅθεν οὐδ᾽ αὐτὸς ὁ ἥλιος ποδιαῖος ὢν φανήσεται. φαίνεται δέ γε. οὐκ ἄρα ποδιαῖός ἐστι. δῆλον οὖν ἐκ τούτων, οἶμαι, ὅτι εἰ τηλικοῦτος ἦν, ἡλίκος φαίνεται,

terra ad ſolarem globum, ut oporteat totius pedales eſſe partes, quales appareant, & nihilo magis hæc alia alijs. Proinde cū partes eius omnes ſint pedales, tantæ apparentes quantæ ſunt, ipſe quoque totus tantum protenſus, explicatusq; quantus eſſe apparebit. quod manifeſtò impoßibile eſt, neq; pedales eius partes quātæ appareāt. Cæterum omnino non apparebunt, unde ne ipſe quidem ſol pedalis apparebit. Atqui apparet, non ergo pedalis eſt. Hic igitur manifeſtum arbitror, quòd ſi tantus ſit quantus appa-ret,

νεται, οὐκ ἂν ἐφαίνετο. ἐπεὶ δὲ φαίνεται, οὐκ ἔστιν τηλικοῦτος, ἡλίκος φαίνεται. εἴ γε μὴν τηλικοῦτός ἐστιν, ἡλίκος φαίνεται, καὶ αὐτὴ ἡ ἀπὸ τῆς ὄψεως φαντασία τοῦ κατ᾽ αὐτὸν μεγέθους κριτήριόν ἐστιν. ἀκόλουθον ἂν εἴη λέγειν, ὅτι καὶ τῶν περὶ αὐτὸν φανταζομένων, αὕτη ἂν ἡ φαντασία κριτήριον γένοιτο. ὅθεν εἰ τηλικοῦτός ἐστιν ἡλίκος φαίνεται, καὶ τοιοῦτός ἐστιν οἷος φαίνεται. φαίνεται δὲ κοῖλος καὶ μαρμαίρων, οὐ τούτου τοῦ σχήματος περὶ αὐτὸν ὑπάρχοντος. ἄλλοτε οὖν ὁρᾶται ὁμαλὸς καὶ σεληνοειδής, ὡς μὴ διανοούμενος. ἀδύνατον δὲ ταῦτα

ret, non utique appareret. At quia apparet, neutiquam igitur tantillus eſt quãtus apparet. Quod ſi tantillus eſt quantus apparet, ipſa quoque à uiſu uiſionis imago, eius magnitudinis uis iudicij eſt. Conſequens erit, ut dicatur ipſa uiſio fieri iudicatio de eis, quæ obijciuntur uiſiones in ipſum. Vnde ſi tantillus eſt quantus apparet, etiam talis eſt qualis apparet. Atqui apparet cauus & albicans, neutiquã tali circa ipſum exiſtente figura. Aliquando igitur ſpectatur æqualis, et luminaris faciei, & nõ ſatis intellectus. At hæc omnia

ταῦτα πάντα περὶ αὐτὸν ὑπάρχειν. ψεῦδος οὖν καὶ ᾧ ταῦτα ἀκολουθεῖ, τὸ ποδιαῖον εἶναι αὐτόν. καὶ μὴν εἰ τηλικοῦτός ἐστιν ὁ ἥλιος ἡλίκος φαίνεται, καὶ τοιοῦτός ἐστιν οἷος φαίνεται. ἐπειδὴ καὶ ἑστὼς φαίνεται, εἴη ἂν ἀμετάβατος. οὐκ ἔστι δὲ ἀκίνητος, οὐδὲ ἀμετάβατος. ὅθεν οὐδὲ τηλικοῦτος ἐστίν, ἡλίκος φαίνεται. ἐναργέστατα δ᾽ ἂν καὶ ἀπὸ τούτων ἡ ἀτοπία τοῦ λόγου αὐτῶν ἐλέγχοιτο. εἰ γὰρ ζι ὁ ἥλιος τηλικοῦτός ἐστιν, ἡλίκος φαίνεται, γνώριμον οἶμαι, διότι καὶ ἡ σελήνη τηλικαύτη ἐστίν, ἡλίκη φαίνεται. εἰ δὲ αὐτή, καὶ τὰ σχήματα

omnia circa ipſum eſſe impoßibile eſt. Falſum igitur quem hæc comitentur, ipſum pedalem eſſe. At certè ſi tantillus eſt quantus apparet, ac talis eſt qualis àpparet, quoniam ſtabilis apparet, fuerit utique ut quoquam non tranſeat. Atqui non eſt immobilis, neque quóquam non tranſit, unde ne quidem tantillus eſt quãtus apparet. Ab his euidentißimè orationis ipſorũ abſurditas coarguitur. Nam ſi tãtillus eſt ſol quãtus apparet, arbitror notum quoq́ etiam lunam tantillam eſſe quanta apparet quòd ſi ipſa, etiam eius figuræs

σχήματι αὐτῆς. ὥστε καὶ ὅτε μηνοειδής ἐστι, τὸ ἀπὸ τοῦ κέρως ἐπὶ τὸ κέρας αὐτῆς διάστημα τηλικοῦτόν ἐστιν, ἡλίκον φαίνεται. οὗ πάλιν ἀκολουθεῖ, καὶ τὰ πρὸς τοὺς πλησίον αὐτῆς τῶν ἀστέρων διαστήματα τηλικαῦτα εἶναι, ἡλίκα φαντάζεται. ὅθεν καὶ ὅλον τὸ ὑπὲρ γῆς ἡμισφαίριον τοῦ κόσμου τηλικοῦτον εἶναι, οἷον φαίνεται. οὐ τοῦτο δέ. οὐδ᾽ ἄρα τηλικοῦτός ἐστιν ὁ ἥλιος, ἡλίκος φαίνεται. καὶ μὴν, εἰ ἡ σελήνη σὺν τοῖς σχήμασι τηλικαύτη ἐστιν, ἡλίκη φαίνεται. καὶ τὰ φαινόμενα ἐν αὐτῇ τῶν μελασμάτων, τηλικαῦτά ἐστιν,

figuræ. Itaq; etiam cum mēſtrua eſt à cornu ad cornu, ipſius interuallum tantillum eſt quantū apparet. Quod rurſus conſequitur, quæ ſunt ipſi propinqua ſtellarum interualla tātilla eſſe quanta apparēt, id etiam cōſequitur omne ſimpliciter, ſtellarū interualla tātilla eſſe quāta apparent. Quocirca etiam totū quod ſupra terram hemiſphærium mūdi, tantillū erit quantum apparet. At id non eſt. Non ergo tantillus eſt ſol quātus apparet. Præterea ſi luna cū figuris tantilla eſt quāta apparet, etiā apparētes in ipſa nigrores tantilli ſunt

mus menſem peregrinatum eſſe, aut quempiam peregrinari, non omnino ad coitum à coitu dicentes, ſed ſimpliciter triginta dierum numerum. Bina igitur prima ſunt corpora, ſurgens in cornua luna & aëris conſtitutio: quæ uerò ſequũtur duo corporis expertia: quia tempus ipſum corporis expers. Verùm ad ſolem lunæ coitus non ſemper æquale temporis ſeruant interuallum. Hac de cauſa ſol, ut iam dictũ eſt, modò terræ proximus, modò ſublimis electili ſuo euadit itinere. Cum igitur fuerit humilior, ce-

ler

χιον διέρχεται τὸ ζῴδιον ἀναγκαίως. ὁπόταν δ' ὑψηλότερος, βραδίον. ταπεινότερος μὲν γὰρ ὤν, μείονα διέρχεται περιφέρειαν· ὑψηλότερος δὲ, μείζονα. τοῦτο δὲ καταμάθοιμεν ἂν καὶ ἐκ τῶν γινομένων περὶ τοὺς κώνους τομῶν. αἱ μὲν γὰρ πρὸς ταῖς βάσεσιν αὐτῶν, πλατύτεραί εἰσιν· αἱ δὲ μᾶλλον τῇ κορυφῇ πελάζουσαι, στενότεραι. οἱ τοίνυν ἀπὸ τῆς ὄψεως ἀρχόμενοι κῶνοι πρὸς οὐρανὸν, κορυφὴν μὲν ἔχουσι, τὸ πρὸς αὐταῖς ταῖς κόραις· βάσιν δὲ, τὸ ὁρατὸν, ᾧ ὑπερείδουσιν. ἐπεὶ τοίνυν ἡ γῆ κέντρον ἐστὶν, ἴσαι γενήσονται αἱ πρὸς πάντα

ler ſigniferum permeet neceſſe eſt: cum uerò ſublimior, tardus. Nam cum humilior eſt, minorem permeat ambitum, ſublimior autem maiorem. Id quoque di dicerimus ex ſectionibus factis per conos, ſeu metas. Nam quæ ad baſes ipſorum ſunt, latiores: at quæ magis accedũt ad uerticẽ, anguſtiores. A' uiſu igitur effuſi in cœlum coni, ſiue turbines, uerticẽ quidẽ habẽt ad uiſus aciẽ: baſin uerò, quod ſub aſpectum uenit quod ſpectatur. Quia igitur terra centrum eſt, æquales erunt in omnia

τὰ ζῴ-

τὰ ζώδια ἀναχεόμεναι βάσεις τῶν κώνων. εἰ δὲ νῦν συνέβαινε μήτε ταπεινότερον, μήτε ὑψηλότερον φέρεσθαι τὸν ἥλιον, ἀλλὰ διὰ πάντων πρὸς τὸ αὐτὸ ὕψος ἀπέχειν τῆς γῆς, πάντ' ἂν τὰ ζώδια ἐν ἴσῳ διεξῄει χρόνῳ. καὶ οὕτως ἂν αὐτῷ καὶ αἱ πρὸς τὴν σελήνην σύνοδοι, τὸ ἴσον τοῦ χρόνου διάστημα ἀπέσωζον. ἐπεὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἐν μὲν τοῖς διδύμοις ὑψηλότατος, ἐν δὲ τοξότῃ ταπεινότατος φέρεσθαι τετήρηται. οὕτως ἐν μὲν διδύμοις τὴν τοῦ κώνου διὰ ὄψεως ἀποτομὴν πλατυτέραν οὖσαν (ἐπεὶ μᾶλλον τῇ βάσει πελάζει.) βραδίον διεξῄει, τάχιον

ſigna effuſæ conorum baſes. Si igitur contingeret ſolem non ferri ſublimius, ſed omnifariam eodem à terra abeſſe faſtigio, cuncta ſigna tempore æquali perluſtrare, atque ita ad lunam coitus æquale temporis cuſtodirent interuallum. At quia non ita habet, ſed in geminis eſt ſublimiſſimus, in ſagittario autem humillimus, ferri obſeruatus eſt. & perinde in geminis coni uiſus deſectio latior eſt (quoniam propinquior ad baſem accedit) tardius permeat, celerius au-

δὲ τὴν

δὲ τῇ τοῦ τοξότου. ἐπεὶ πάλιν ἐνταῦθα ἡ ἀποτομὴ τοῦ κώνου τῇ κορυφῇ μᾶλλον πελάζουσα, στενωτέρα ἐστίν. ὁπόταν μὲν οὖν ἐν ἀρχῇ διδύμων σύνοδος γένηται, ἐνταῦθα τῆς μὲν σελήνης προσγειοτέρας φερομένης, ὑψηλοτάτου δὲ τοῦ ἡλίου, ἀναγκαίως σύντομος ὁ μὴν γενήσεται. ἔτι γὰρ ἐν διδύμοις ὄντα, καταλήψεται τὸν ἥλιον, δυσί γε καὶ τριάκοντα ἡμέραις τοῦτο τὸ ζώδιον διερχόμενον. εἰ δὲ περὶ τὰς τοῦ τοξότου ἀρχὰς γένοιτο σύνοδος, οὐ καταλήψεται ἔτι ἐν τούτῳ τῷ ζῳδίῳ τὸν ἥλιον ἡ σελήνη, ἐν εἴκοσι καὶ ὀκτὼ ἡμέρας

tem eam quam ſagittarij: quoniã rurſus hinc coni deſectio quæ ad uerticem magis accedit, eſt anguſtior. Cum ergo in principio geminorum fuerit coitus, ubi luna terræ per meat proxima, cum ſol ſublimiſsimè inuehatur, conciſus ſit menſis neceſſe eſt. Siquidem ipſum adhuc in geminis relictum offendet ſolem, triginta & duobus diebus id ſignum emetitur. Quod ſi in principio ſagittarij fuerit coitus, in eodem ſigno cum ſole luna in congreſſum non ueniet, quod uiginti & octo diebus

ξαις ὅσαπερ τὸ ζώδιον διϊόντος τοῦ ἡλίου. μήκιστος οὖν πάντων οὗτος ὁ μὴν γίνεται, καὶ τῆς σελήνης βράδιον τὸν τοξότην διερχομένης, καὶ τοῦ ἡλίου ταχέως, καὶ διὰ τοῦτο βραδέως ὑπ' αὐτοῦ καταλαμβανομένου. ἐν δὲ τοῖς μεταξὺ ζωδίοις, τὸ ἀνάλογον συμβήσεται. οὕτω καὶ πάντων τῶν πλανητῶν ἐν ἑκάστοις τῶν ζωδίων ὑψώματα καὶ ταπεινώματα ἐλέγχεται. ὁπόταν δ' εἰς τριάκοντα μοίρας πάντων νενεμημένων, τὰ μὲν θᾶττον, τὰ δὲ βράδιον αὐτῶν διέρχεται. εὔδηλον, ὅτι ἔνθα μὲν ταπεινότεροί εἰσι, στενωτέραις τῶν

bus id ſignum ſol permeet. Omnium igitur hic menſis euadet longiſſimus, ſagittarium luna tardius emetiente, ſole autem celerius, & perinde ſeriuſculè ab ipſa offenditur. In medijs autem iſtorum ſignis, iuxta proportionem contigerit. Ita etiam cunctarum uagarum ſtellarum in ſuis ſignis ſublimitates & humilitates coarguuntur, cum in triginta partes diſtributa ſint omnia, ea celerius aut ſerius perambulant. Certum profectò eſt eſſe humiliores, ubi conorum angu-

τῶν κώνων ἀποτομαῖς ἐντυγχάνοντες, θᾶττον διέρχονται αὐτάς. ἔνθα δὲ διὰ τὸ ὕψος πλατύτεραι αἱ τῶν κώνων ἀποτομαὶ, βράδιον καὶ ἡ διέξοδος αὐτῶν γίνεται. ὑψουμένων δὲ καὶ ταπεινουμένων πάντων τῶν πλανητῶν, ἐπίσης ἔκκεντροι πάντων εἰσὶν οἱ κύκλοι. ἐπείγε διὰ τὰ ὕψη, καὶ τὰ ταπεινώματα, μὴ πάντοθεν τὸ ἴσον τῆς γῆς ἀφιστᾶσι. τοιοῦτος οὖν καὶ ὁ τῆς σελήνης ὤν, ὑποβέβληται τῷ ζωδιακῷ, παρ' ὅλον αὐτὸν ἐγκεκλιμένος. καὶ γὰρ τοῦ βορείου ἐφάπτεται, ἐφόσον καὶ ἡ σελήνη αὐτὴ τοῖς βορείοις πελάζειν εἴωθεν. καὶ τοῦ

anguſtiores nacti fuerint ſectiones, quas etiam permeant celerius. At ubi propter faſtigium latiores conorum ſectiones, tardius etiam euadunt. At ſublimiter & humiliter inuectarũ cunctarum uagarum ſtellarum, peræquè omnium ipſarum eccentri ſunt orbes, per faſtigia & humilitates non undique æqualiter à terra diſtant. Cum ſit ergo lunæ talis, ſignifero ſubijcitur ad ipſum totũ inclinatus. ſeptentrionalẽ enim cõtingit, quatenus luna ipſa ad ſeptẽtrionẽ propinquior accedere conſueuit: ſimiliter

καὶ τοῦ νοτίου ὁμοίως. ὥστε οὕτως ἔχων, τὸν διαμέσου τῶν δύο σημεῖα τέμνει ἀναγκαίως, ὃς ἡλιακός τε καὶ ἐκλειπτικὸς καλεῖται. ταύτας οὖν τὰς τομὰς, οἱ μὲν συναφὰς, οἱ δὲ συνδέσμους καλοῦσιν. ὥσπερ γὰρ ὁ ἥλιος καλεῖται διχῶς, αὐτός τε καὶ τὸ φέγγος αὐτοῦ· οὕτω καὶ τὴν σελήνην διχῶς καλεῖν εἰώθαμεν. τούτοις ἑξῆς, τὸν περὶ τῆς ἐκλείψεως αὐτῆς ποιησόμεθα λόγον, ὅπως μὴ παραπλησίως τοῖς γραϊδίοις καὶ ἡμεῖς δοξάσωμεν, ὁπόταν ἐκλείπῃ ἡ σελήνη, ὅτι φαρμακίδες εἰσὶν αἱ καθαιροῦσαι αὐτήν.

ſimiliter ad auſtrum. Cum itaque ita habeat eclipticam in medijs in quam ſigniferi articulis bina ſecet ſigna neceſſe eſt, qui ſanè locus ſolaris & eclipticus appellatur. Tales igitur ſectiones, alij contactus, alij coitus uocãt. quemadmodum ſol dupliciter uocatur, ipſe, & fulgor ipſius: ita lunam dupliciter appellare conſueuimus. Deinceps de eius defectu uerba habebimus, ne uetularũ ritu nos quoque opinemur, cum luna defecerit, eſſe ueneficas, quæ ipſi adhibeant piacula.

Περὶ τῆς σελήνης ἐκλείψεως.

Ἐκλείπει δὲ ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ὁπόταν ἐπὶ μιᾶς εὐθείας τὰ τρία γένηται σώματα, ἥλιος, γῆ, καὶ σελήνη, μέσης τῆς γῆς γινομένης. ὅπερ γὰρ μόνῃ τῇ πανσελήνῳ συμβαίνειν δυνατόν. περιπίπτει δὲ τῇ σκιᾷ τῆς γῆς, τόνδε τὸν τρόπον. ὁ ἥλιος τὴν κίνησιν ποιεῖται, καθάπερ ἤδη ἔφαμεν, ὑπὸ τῷ μεσαιτάτῳ τοῦ ζῳδιακοῦ τὸν οἰκεῖον κύκλον ἔχων ὑποκείμενον. ἡ οὖν γῆ φωτιζομένη ὑπ' αὐτοῦ, σκιὰν ἀποπέμπει ἀναγκαίως, καθάπερ καὶ ἄλλα, ὁπόσα φωτίζεται, τῶν στερεῶν σωμάτων.

De lunæ defectu.

Deficit nimirum luna, cum in terræ umbram inciderit, cũ unà in recta linea tria fuerint corpora ſol, terra, luna, terra interueniente media. Quòd in ſolo poteſt euenire plenilunio. In terræ autem umbram hoc pacto incidit. Mouetur profectò ſol quo diximus modo in medijs ſigniferi articulis, ſuum habens in quo mouetur orbẽ. Terra igitur ab ipſo lumine perfuſa, umbram remittat neceſſe eſt, ſicut & alia quæ lumine perfunduntur, omnia ſolida corpora.

αὕτη

αὕτη τοίνυν κωνοειδῶς σχηματιζομένη, ὅλον μὲν οὐκ ἐπιλαμβάνει τοῦ ζωδιακοῦ, οὐδὲ παντὶ τῷ πλάτει αὐτοῦ συμπαρεκτείνεται, διὰ τὸ εἰς ὀξὺ ἀποκορυφοῦσθαι. διαμετροῦσα δ' αὐτῷ κατὰ μεσαιτάτου τῆς κορυφῆς τὸ τοῦ ἡλίου κέντρον, ἀναγκαίως καὶ αὐτὴ αὐτῷ τῷ μεσαιτάτῳ τοῦ ζωδιακοῦ ὑπόκειται. αὕτη μέχρι μὲν τῶν ἄλλων οὐκ ἀνέρχεται ἄστρων. τὸ δὲ τῆς σελήνης ὕψος, πολὺ ὑπεραίρει. ὁπόταν οὖν ἡ σελήνη διαμετροῦσα τὸν ἥλιον, ἢ ἐν τοῖς δεξιοῖς καὶ βορείοις, ἢ ἐν τοῖς ἐναντίοις τοῦ ζωδιακοῦ εὑρεθείη, ἐκφεύγει τὴν σκιὰν τῆς γῆς, καὶ

Terra igitur promittens umbram in figura metæ, totũ neutiquam comprehendit ſigniferum, neq; per omnem eius extenditur latitudinem, quod in acutum uerticem tranſcendat ipſi uerticis medioxumo aduerſa ſoli, centrum diametro reſpiciens, neceſſariò etiam ipſa ipſi medioxumo ſigniferi ſubſternitur. non eouſque alia aſcendunt ſidera, nam multo excedit lunæ faſtigiũ. Cum igitur luna ſoli aduerſa, aut in dextris & ſeptentrionalibus, aut in contrarijs ſigniferi comparata fuerit, terræ umbrã deuitat, et

διὰ τοῦτο, οὐ κατὰ πᾶσαν πανσέληνον ἐκλείπει. ὁπόταν δὲ διαμετροῦσα τὸν ἥλιον, οὕτως ἔχουσα εὑρεθῇ, ὡς μίαν εὐθεῖαν δύνασθαι διεκβάλλεσθαι, διὰ τῶν κέντρων τοῦ τε ἡλίου καὶ τῆς γῆς καὶ τῆς σελήνης. τότε ἀκριβῶς ἐμπίπτουσα τῇ σκιᾷ τῆς γῆς, τελείαν ἔκλειψιν ποιεῖται. φέρεται μὲν γὰρ ἡ σκιὰ τῆς γῆς κατὰ διάμετρον τοῦ ἡλίου, ἕλκεται δὲ ὥσπερ ὑπ' αὐτοῦ. καθὰ καὶ ὅμηρός φησιν,

Ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν.

οὕτως δὲ συμφερομένης

ob hoc non defecit toto plenilunio. Cum uerò ſoli aduerſa ita habere inuenta fuerit, ut recta linea una per centra tranſmitti poßit ſolis ac lunæ, tum ad libellam terræ umbra incurrit, conſummatam faciens eclipſim. Fertur enim terræ umbra per ſolis dimetientem, ab ipſoq; trahitur, ut Homerus inquit:

Labitur Oceano rutili lux ſplendida ſolis.
Terræ obductu nox atris circumuolat alis.

Atque ita cum ſole circumfer-

νης αὐτῇ τῷ ἡλίῳ, καὶ αὐτῷ τῷ ἄκρῳ τὸ κέντρον αὐτοῦ διαμετρούσης, ἡ σελήνη κατὰ τὴν προαιρετικὴν κίνησιν ἰοῦσα, ἀπαντᾷ αὐτῇ· ἐκείνης μὲν ἀπ' ἀνατολῆς πρὸς δύσιν, τῆς δὲ σελήνης ἀπὸ τῶν δυτικῶν ἐπὶ τὴν ἀνατολὴν φερομένης. καὶ οὕτως περιπίπτουσα αὐτῇ, στέρεται τῶν ἀπὸ τοῦ ἡλίου αὐγῶν· ὥσπερ καὶ ἡμεῖς, ὁπόταν τις ἡλιωμένης ἡμῖν, ἐπίπροσθεν στῇ, οὐκ ἀεὶ δὲ ὅλη ἐπισκοτεῖται ὑπὸ τῆς γῆς, οὐδὲ πᾶσα ὑπὸ τῆς σκιᾶς καλύπτεται, ἀλλ' ἔστιν ὅτε καὶ κατὰ μέρος. τοῦτο δὲ συμβαίνει, ὁπόταν διαμετροῦσα τὸν ἥλιον, ἐφάπτηται τοῦ διὰ μέσου. μὴ

cumfertur, in ipſo extremo eius centrum dimenſa luna electili ſuo progreſſa motu in ipſius congreſſum uenit: illo ab ortu in occaſum, luna uerò ab occaſu in ortum delata. Atque ita umbram incurrens, ſolis fulgore priuatur: ſicut nos quoque, cum quiſpiam ſeſe in ſole nobis oppoſuerit. At non ſemper ſub terræ umbra obſcuratur, neque tota ab umbra operitur, uerum eſt quando in parte tantum. Quod ſanè contingit, cum aduerſa ſoli eclipticam tangit, nec

μέχρι δὲ κατ' αὐτὸ τὸ μεσαίτατον αὐτοῦ τὸ κέντρον ἔχουσα εὑρεθῇ. οὕτω δὲ μέρος τι αὐτῆς, ἀλλ' οὐ πᾶσα, περιπίπτει τῇ σκιᾷ. ὅτι δὲ τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ἀλλ' οὐχ ἕτερον τρόπον, ἐκλείπει, ἀπὸ τῶν φαινομένων αὐτῆς πάρεστιν ὁρᾶν. πρῶτον μὲν γὰρ, ὅτι ἐν μόνῃ πανσελήνῳ ἐκλείπει. (ὅτε δὴ καὶ μόνον οἷόν τε περιπίπτειν αὐτὴν τῇ σκιᾷ τῆς γῆς, διαμετροῦσαν τὸν ἥλιον) δεύτερον, ὁπόταν τελείαν ἔκλειψιν ποιῆται, ὁρᾶται αὐτῆς τὰ πρὸς αὐτὴν τετραμμένα, ἀφανιζόμενα πρῶτα, διὰ τὸ ἀπαντᾶν αὐτὴν τῇ σκιᾷ. αὐτὴν μὲν,

tamen in medioxumo centrum habuerit, ita demum eius pars aliqua non tota in umbram incidit. Cæterum quod in terræ umbram incidat, neque alio pacto deficiat, ab eis quæ apparent nobis, par eſt intueri. Primum nanque in ipſo deficit plenilunio, cum demum potuerit umbræ duntaxat incidere ſoli aduerſa. Secundo cum perfectum defectum admiſerit, cernuntur eius partes ad umbram conuerſæ primùm obſcurari, quod ipſi tum occurrant umbræ. Cum ad

τὴν μὲν· ὡς πρὸς ἀνατολὴν ἔχουσαν κατὰ τὴν ἐναντίαν τοῦ οὐρανοῦ κίνησιν. τῆς δὲ σκιᾶς, ὡς ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν ἀεὶ φερομένης. πάλιν τε ἀρχομένη ἐκφαίνεσθαι μετὰ τὴν ἔκλειψιν, πρῶτα ἔχει ἐκφαινόμενα τὰ πρὸς ἀνατολὴν τετραμμένα. ἀναγκαιότατον γάρ, ἁπαντώσης αὐτῇ τῇ σκιᾷ, τὰ πρῶτα ἐντυγχάνοντα μόρια τῆς σελήνης αὐτῇ, καὶ κρυπτόμενα, πάλιν πρῶτα μετὰ τὴν κρύψιν ἐκφαίνεσθαι. πάλιν, ὁπόταν ἀπὸ μέρους ἐκλείπει, ἂν μὲν ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια κατιοῦσα, πάσχῃ τοῦτο, τὰ πρὸς

ad ortum luna inuehatur, motu cœli contrario, umbra uerò ab ortu in occaſum ſemper delata. Rurſus poſt defectum incipit efferri, partes primas habens elatas ad ortum conuerſas. Nam neceſſe eſt quæ primæ partes umbram offenderint, lunæ primas operiri, quæ porrò primæ poſt occultationẽ apparent. Rurſus cum in parte deficit, ſi à ſeptentrione in auſtrum ſe recipiat, id patiuntur, ad

πρὸς μεσημβρίαν αὐτῆς τετραμμένα ἀφανίζεσθαι ἀναγκαίως. ταῦτα γὰρ ἐν τῇ καθόδῳ προηγούμενα, προεμπίπτει τῇ σκιᾷ, καὶ οὕτως αὐτὰ κρύπτεται. τὰ δὲ πρὸς ἄρκτον τετραμμένα, ἐκφεύγει τὴν σκιάν. ὁπόταν δὲ ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια ἀνερχομένη, μερικὴν τὴν ἔκλειψιν ποιῆται, διαμετρήσασα μὲν τοῦ ἡλίου, οὔπω δὲ τὸ κέντρον ἔχουσα κατὰ τὸ μεσαίτατον τοῦ ζῳδιακοῦ, καὶ τὸ τοῦ ἡλίου κέντρον. τὰ πρὸς ἄρκτον ὁρῶντα μέρη αὐτῆς ἐκλείπει, ἐπειδὴ ταῦτα προηγούμενα προεμπίπτει τῇ σκιᾷ. τὰ δὲ πρὸς μεσημβρίαν μέρη

ad meridiem conuerſæ partes, quæ primæ obſcurentur neceſſe eſt. Hæ nanq; inter eundũ præcedẽtes, in umbræ congreſſum ueniunt, & perinde occultantur. At quæ ad ſeptentrionem cõuerſæ ſunt, umbram effugiunt, plane q; deuitant. At cum ab auſtralibus partibus ad ſeptentrionẽ ſcãdit, particularẽ defectũ admittit, cũ ſoli fuerit aduerſa, necdũ tamẽ centrum ad ſigniferi medio xumũ, & ſolis cẽtrum habẽs, quæ ad ſeptẽtrionẽ ſpectãt eius partes, deficiũt, quæ præcedentes umbræ immerguntur. At quæ ad meridiẽ partes,

μέρη αὐτῆς, φαίνεται. ταῦτα οὖν πάντα σχεδὸν ὀφθαλμοφανῶς ἡμῖν παρίστησιν, ὅτι καὶ ἡ σελήνη μίαν ἔχει ταύτην τῆς ἐκλείψεως αἰτίαν, τὴν περίπτωσιν καθ' ἣν περιπίπτουσα τῇ σκιᾷ τῆς γῆς, καὶ ἐπισκοτουμένη ὑπ' αὐτῆς, στέρεται τῆς ἀπὸ τῶν ἡλιακῶν ἀκτίνων ἐπιβολῆς, αἳ λαμπρυνοῦσι τὸ ἀεὶ πρὸς τὸν ἥλιον αὐτῆς τετραμμένον. ἔτι μὴν καὶ ἀποτομαὶ τῶν φωτισμῶν αὐτοῦ ὁπότε ἐκλείπει, περιφορεῖς ὁρῶνται ἀναγκαίως καὶ τούτου συμβαίνοντος. αὕτη γὰρ σφαιροειδὴς ὑπάρχουσα, περιπίπτει σκιᾶς σχήματι κωνοειδεῖ. καὶ οὕτως

partes, apparent. Hæc omnia nobis obiecta, oculis propè inſiſtunt, quod luna unam & eandem habeat defectus cauſam. Circumlapſum, quo terræ umbræ circumillabitur, ab ipſa'que obſcurata, ſolarium radiorum iaculatione priuatur, quæ fulgentem reddens ſemper eius ad ſolem cõuerſam partem, id efficit. Enimuerò etiam ſectiones ipſius illuminationum, cum deficiunt, circummeantes ſpectantur, hoc neceſſario eueniente. Nã cũ ipſa globoſa ſit, umbræ incidit, quæ figuræ eſt turbinatæ, atque ita

οὕτως αἱ ἀποτομαί, αἱ γινόμεναι τοῦ φωτὸς αὐτῆς, περιφερεῖς ὁρῶνται. σφαιρικὸν γὰρ σχῆμα, κωνοειδεῖ σχήματι συντυγχάνον, καὶ ἀφανίζον μὲν ἴσχον τὸ ψαῦον ἀεὶ τοῦ κωνοειδοῦς, ἀναγκαίως τὸ ὑπολειπόμενον, καὶ μηδέπω ἀφανισμένον, περιφερὲς κατὰ τὴν ἀποτομὴν, καὶ μηνοειδὲς ἔχει τὸ σχῆμα. τετήρηται δὲ κἀκεῖνο περὶ τῆς κατ' αὐτὴν ἐκλείψεως, ὅτι τελείαν ἔκλειψιν ποιεῖται καὶ ὑψηλοτάτη καὶ περιγειοτάτη, καὶ μέσως ἔχουσα. καὶ ὑψηλοτάτη μὲν ἐκλείπουσα, τάχιον ἐκφαίνεται, ταπεινοτάτη δὲ βραδέως. μέση δὲ, μέσον ἴσχει καὶ τοῦ

τῆς ἐκ-

ita ſectiones ab eius lumine admiſſæ circummeātes ſpectātur. Globoſa ſiquidē figura in figuræ turbinatæ cōgreſſum incurrens, partem contactā obſcuratā habēs à turbinato ſemper neceſſariò relictā necdum obſcuratā circummeans, per ſectionem, etiam ſurgentē in cornua figurā obtinet. Obſeruatū aūt hoc etiā in eius defectū integrum tum demū ſubire defectum, cū ſublimiſsima, cū terræ proxima, cum mediū tenet locū. et ſublimiſsima quidē deficiēs celerius comparet, humillima aūt ſerò. media mediā rationem tenet

temporis

τοῦ ἐκλείψεως χρόνου τῶν προειρημένων. τοῦτο δὲ σαφῶς καταμηνύει, ὅτι μὴ ἄλλως ἢ τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ἐκλείπει. ὁπόταν μὲν γὰρ ᾖ ὑψηλοτάτη, ἐκλείπει τῶν στενωτέρων τῆς σκιᾶς ἐντυγχάνουσα, θᾶσσον ἐκφαίνεται. ὁπόταν δὲ προσγειοτάτη, πλατύτερον διάστημα τῆς σκιᾶς διελθεῖν αὐτῇ ἀναγκαῖον, καὶ οὕτω πλείων ὁ τῆς ἐκλείψεως αὐτῇ γίνεται χρόνος. ὁπόταν δὲ μέσον ὕψος ἔχουσα, τὸ ἀνάλογον ἀπαντᾷ, μέσον καὶ τὸν τῆς ἐκλείψεως χρόνον ἐχούσης αὐτῆς. ἐκ τούτου δείκνυται, ὅτι καὶ ἡ τῆς γῆς σκιὰ κωνοειδής ἐστι. ταῦτα μὲν γὰρ ὑπ' ἀλλή-

temporis defectus inter iam dictos. Id perſpicuè admonet, non aliter quàm in terræ umbra demerſam deficere. Nam cum ſublimiſsima defecerit, umbræ anguſtius permeet neceſſe eſt, tum breuiſsimo temporis curriculo euadit. Cum porrò humillima ampliſsimam terræ umbram ſubit, & tum diutius in defectu perdurat neceſſariò. At cum medium tenuit faſtigium, iuxta proportionem tempus in defectu medium abſumit. Hinc demonſtratur, terræ umbra eſſe turbinata. Hæc inter ſe in-

ἀλλήλων, ἣν ἔχει, ἐλέγχεται. καὶ δὴ αἱ ἐκλείψεις τῆς σελήνης δείκνυται οὐκ ἄλλως γίνεσθαι, ἢ εἰς τὴν σκιὰν τῆς γῆς ἐμπιπτούσης αὐτῆς. ἔτι πάλιν αἱ περὶ τὰς ἐκλείψεις αὐτῆς διαφοραὶ, δεικνύουσιν, ὅτι κωνοειδής ἐστιν ἡ τῆς γῆς σκιά· χρονιζούσης μὲν ἐν ταῖς προσγειοτέραις τῶν ἐκλείψεων, τάχιον δὲ ἐκφαινομένης, ἐπειδὰν ἐκλείπῃ ἐν ταῖς ἀπογειοτέραις. ἐν δὲ ταῖς μεταξὺ καὶ τοῦ χρόνου τῆς ἐκλείψεως μέσως ἐχούσης. ἔτι αἱ μερικαὶ δὲ τῶν ἐκλείψεων, δηλοῦσιν, ὅτι κωνοειδής ἐστιν αὐτῆς ἡ σκιά. τοιαύτας γε τὰς ἀποτομὰς τῶν φωτισμῶν ἐχούσης, ὡς

ſe inuicem, quatenus habent, coarguuntur, & lunæ defectus non aliter fieri demonſtratur, quàm demonſtrando in terræ circummeantem umbrã ipſam incidere. Rurſus circa defectus ipſius circummeatus indicant, turbinatam eſſe terræ figuram. Diuturna quidem in humilibus defectibus, citius uerò apparens, cum defecerit, in remotioribus à terra partibus. at in medijs tempus defectus mediũ habens. necnõ particulares defectus turbinatã arguũt eſſe terræ umbrã. Cũq; tales illuminationũ habeat ſectiones,

σης, ὡς μηνοειδὲς αὐτοῦ τὸ σχῆμα γίνεσθαι, οὐκ ἂν τούτου γινομένου, μὴ εἰς κωνοειδὲς σκίασμα ἐμπιπτούσης αὐτῆς. μάλιστα δὲ ἂν καὶ ἀπὸ τούτων ὑποδειχθήσεται, ὅτι καὶ κωνοειδής ἐστιν ἡ τῆς γῆς σκιά. εἰ γὰρ ἦν κυλινδροειδὴς, ἢ καλαθοειδὴς ἡ σκιὰ αὐτῆς, ἴσον ἐχούσης ἢ μικρότερον τῆς γῆς τὸ φωτίζον αὐτὴν τὸν ἥλιον. εἰ μὲν καλαθοειδὴς σκιὰ, πλεῖστον ἂν κατελάμβανε τοῦ οὐρανοῦ, εἰς πλατύ γε ἀποτελευτῶσα. καὶ οὕτως ἂν, οὐ μόνον ἑκάστου μηνὸς τὴν σελήνην ἐκλείπειν συνέβαινεν, ἀλλὰ καὶ διὰ πάσης τῆς νυκτὸς, μένειν ἐν τῇ σκιᾷ. εἰ δὲ κυλιν-

nes, ut ſit eius figura ſurgens in cornua, quod ſi non ſit, ne quidem in turbinatum incideret umbraculū. In primis uerò hic quoque demonſtrabitur turbinatam eſſe terræ figuram. Si ſit cylindroides aut calathoides eius umbra æqualem habentis, aut minorem illuminantem ſolem. ſi umbra ſit calathoides, plurimum cœli occupabit, in fine latè explicata: atque ita non ſolum ſingulis menſibus contingeret lunam deficere, ſed etiam quauis nocte in umbra permanere. Si cylin-

κυλινδροειδὴς ἦν, ὅλον ἂν τὸ πλάτος ἐπελάμβανε τοῦ ζῳδιακοῦ, μὴ εἰς ὀξύ γε ἀποκορυφουμένη. καὶ ὁμοίως ἑκάστου μηνὸς ἐμπίπτουσα ἂν ἡ σελήνη εἰς αὐτὴν, ἐξέλειπε. νυνὶ δὲ διὰ τὸ κωνοειδῆ εἶναι αὐτὴν, καὶ εἰς στενὸν ἀποκορυφοῦσθαι, οὕτως ἡ σελήνη ἐκφεύγει αὐτὴν, ὁπόταν τὰ βόρεια ἢ τὰ νότια ἐπέχουσα τοῦ ζῳδιακοῦ, ἐν ταῖς πανσελήνοις εὑρίσκηται. προήει δ' ἂν καὶ μέχρι τῶν ἄστρων κυλινδροειδὴς ἢ καλαθοειδὴς οὖσα. καὶ οὕτως ἂν τὰ ἄστρα συνέβαινε, ποτὲ μὲν λαμπρότερα, ποτὲ δ' ἀμαυρότερα φαίνεσθαι.

λαμπρό-

cylindroides totam ſigniferi latitudinē comprehendiſſet, non in acutum tendendo uerticem, itidem quotquot eunt menſibus in ipſam incidens deficeret. At cum ſit turbinata, metæ faciem habens, in quæ anguſtum uerticē concludatur, ita ipſam luna deuitat, cum ſeptentrionales aut auſtrales tenet ſigniferi partes in plenilunijs comperta. Porrigitur ad aſtra uſque, cum fuerit cylindroides aut calathoides: atque ita euenerit, aſtra modò opaca, modò lucida apparere.

Opaca

λαμπρότερα ἐστὶ, ἐν τῇ σκιᾷ. πᾶν γὰρ πύρινον σῶμα, λαμπρότερον ἐν σκιᾷ καὶ σκότῳ γίνεται. ἀμαυρότερα δ' ἐν αὐταῖς τοῦ ἡλίου. ὧν μηδενὸς ἐν τοῖς φαινομένοις θεωρουμένου, δῆλον κωνοειδὴς ἐστὶν ἀναγκαίως τὴν σκιὰν τῆς γῆς. εἰ δὲ τοῦτο, γνώριμον ὡς μεῖζον ἔχει τὸ φωτίζον αὐτὴν, τὸν ἥλιον. τούτων δὲ τῶν περὶ τὴν ἔκλειψιν τῆς σελήνης ἐστὶν ὑποδεδειγμένων, δοκεῖ ἐναντιοῦσθαι τῷ λόγῳ, τῷ κατασκευάζοντι ἐκλείπειν τὴν σελήνην, εἰς τὴν σκιὰν ἐμπίπτουσαν τῆς γῆς, τὰ λεγόμενα περὶ τὰς παραδόξους τῶν ἐκλείψεων. φασὶ γάρ τινες,

Opaca quidem in ſolis luce, lucida autem in umbra. Omne ſiquidem igneum corpus in umbra & tenebris lucidius eſt. quorum cum nihil inſpectum appareat, non dubium quin ſit turbinata neceſſariò terræ umbra. Quod ſi eſt, hinc manifeſtum, illuminantem ſolem maiorem eſſe. Quæ cum ſint de lunæ defectu demonſtrata, aduerſari uidetur eorum orationi deficiens luna, cum in terræ umbram inciderit, qui admirabiles ferunt eclipſes. Aiunt ſiquidem nonnulli

τινές, ὅτι γίνεται σελήνης ἔκλειψις, καὶ ἀμφοτέρων τῶν φώτων ὑπὲρ τὸν ὁρίζοντα θεωρουμένων. τοῦτο δὲ δῆλον ποιεῖ, διότι μὴ ἐκλείπει ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ἀλλ' ἑτέρον τρόπον. εἰ γὰρ ὑπὲρ τὸν ὁρίζοντα φαινομένων τοῦ τε ἡλίου καὶ τῆς σελήνης, ἔκλειψις γίνεται, οὐ δύναται τότε ἡ σελήνη τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ἐκλείπειν. εἰ γὰρ ἐλλάμπεται ὑπὸ τοῦ ἡλίου ὁ τόπος, οὗ ἡ σελήνη ἐστίν. ἀμφοτέρων γε ὑπὲρ τὸν ὁρίζοντα φαινομένων, καὶ μηδέπω τῆς σκιᾶς περιεῖν δυναμένης, ἔνθα ἡ σελήνη ἐκλελοιπυῖα φαντάζεται.

ὥστε

nonnulli lunæ defectus uiſos ambobus luminaribus ſupra finientem conſpicuis, quod planè oſtenderit lunam non ideo deficere, quòd terræ incurrat umbram, ſed alio modo. Nam ſi ſuper finiente apparentibus ſole & luna fit eclipſis, non poteſt tum luna umbram terræ incurrere, atque deficere. Nam ſi fulget locus ubi ſit luna ſupra finientem ambobus conſpicuis, ut nec dum ad terræ umbram peruenire potuerit, ubi luna deficere imaginatione deprehendatur.

Itaq;

ὥστε δεήσει ἡμᾶς, ἂν ταῦτα οὕτως ἔχῃ, ἑτέραν ἐπινοεῖν τὴν αἰτίαν τῆς περὶ τὴν σελήνην ἐκλείψεως ἀποφαίνεσθαι. τοιούτων δὲ λεγομένων οἱ παλαιότεροι τῶν μαθηματικῶν, οὕτως ἐπεχείρουν λύειν ἀπορίαν ταύτην. ἔφασαν γάρ, ὅτι μὴ ἔστιν ἀδύνατον καὶ ἀμφοτέρων τῶν φώτων ὑπὲρ τὸν ὁρίζοντα θεωρουμένων, ἐμπίπτειν εἰς τὴν σκιὰν τῆς γῆς τὴν σελήνην, καὶ ἀκριβῶς διαμετρεῖν τοῦ ἡλίου. ἐν μὲν γὰρ τῷ πλατεῖ ἐπιπέδῳ τῆς γῆς σχήματι τοῦτο μὴ δύνασθαι συμβῆναι. σφαιρικοῦ δὲ ὄντος τοῦ περὶ αὐτὴν σχήματος, κἂν εἴη ἀμφότερα τὰ

σώματα

Itaque opus erit, ſi modò hæc ita habeant, cauſam aliam nobis de lunæ excogitare defectu. Cum igitur hæc dicantur, hanc priſci quæſtionem mathematici diſſoluere tentauerunt. Faßi nanq; ſunt, fieri nullo modo poſſe, ut conſpicuo ſupra finientem utroque lumine in terræ umbra luna demergatur. & examußim ſolem eſſe aduerſum. in lata nanque plana figura id non poſſe euenire contenderunt. at globoſa figura utraque

x lumi-

σώματα τῶν φωστήρων ὑπὲρ τὸν ὁρίζοντα, θεωρεῖσθαι ἀκριβῶς διαμετροῦντα ἄλληλα. αὐτοὶ μὲν γὰρ οὐκ ὄψονται διαμετροῦντες ἀλλήλους, διὰ τὰς ἐξοχὰς τῶν περὶ τὴν γῆν κυρτωμάτων. οἱ δ' ἐπὶ γῆς ἑστῶτες, οὐδὲν ἂν κωλύοιντο ὁρᾶν ἀμφοτέρους αὐτούς, ἐπὶ τοῖς κυρτώμασι τῆς γῆς ἑστῶτες. ἃ τοῖς μὲν ἐφεστῶσιν, οὐκ ἐμποδίζει πρὸς τὸ ἀμφότερα ὁρᾶν τὰ σώματα ὑπὲρ τὸν ὁρίζοντα, τοῖς δὲ διαμετροῦσιν ἀλλήλους ἐπιπροσθήσει. καὶ οὕτως ἐκεῖνοι μὲν οὐκ ὄψονται ἀλλήλους. ἡμεῖς δ' ἀμφοτέρους αὐτούς, οὐ κωλυθησόμεθα ὁρᾶν, τοῖς κυρ

τώμασι

luminarium corpora ſupra finientem ad libellam nos poſſe inſpicere, ut inuicem inter ſe ſint aduerſa. Ipſa nanque inuicem inter ſe aduerſa ſpectari non poſſunt, propter eminentias undique è terra conſurgentes. Verùm qui in terra conſtiterint, ſicut eos nihil præpediet utraque corpora inſpicere ſupra fi nentem, quod aduerſa ſibi inuicem obijciātur: ita illa quidē ſe inuicē nō cernēt, cū tamē nos utrūq; ſpectemus. quod ſubnixi, ſublatiq; à terræ globoſitate cernere ipſa neutiquā præpediamur. quæ

terræ

τώμασι τῆς γῆς ἐφεστώτων, ἃ ἐκείνοις ἀντιπροσθεῖ, ἐν ταπεινώμασι τοῖς περὶ ὁρίζοντα οὖσιν. ὑψηλοτέρων δὲ τῶν κυρτωμάτων ὄντων, ἐφ' ὧν ἡμεῖς ἐφεστήκαμεν.

τοιαύτην μὲν οὖν οἱ παλαιότατοι τῶν μαθηματικῶν, τῆς περὶ προσαγομένης ἀπορίας λύσιν ἐποιήσαντο, μή ποτε δὲ οὐχ ὑγιῶς εἰρημένην. ἐφ' ὕψους μὲν γὰρ ἡ ὄψις ἡμῶν γινομένη, δύναιτ' ἂν τοῦτο παθεῖν, κωνοειδοῦς τοῦ ὁρίζοντος γινομένου, πολὺ ἀπὸ τῆς γῆς εἰς τὸν ἀέρα ἡμῶν ἐξαρθέντων. ἐπὶ δὲ τῆς γῆς ἑστώτων, οὐδαμῶς. οὐ γὰρ εἰ κυρτώματα ἐφ' οὗ βεβήκαμεν, ἐστὶν, ἐναφανίζεται ἡμῶν ἡ ὄ-

terræ turgiditas humilibus (utpote circa finientem) obijcitur, ſublimis in qua nos conſiſtimus.

Ita prædictæ ambiguitati priſci occurrêre mathematici, uerum non uſquequaque id integre. Viſus ſiquidem noſter in ſublimi conſtitutus, id hoc pati poteſt, turbinato finiente multum à terra ſublatis nobis in aërem: at terræ inſidentibus, nequaquã. Nam ſi turgiditates ſint in quæ conſcendimus, nobis occultum erit,

ψις ὑπὸ τοῦ μεγέθους τῆς γῆς. ὥστε τοῦτο μὲν οὐ λεκτέον, οὐδ᾽ ὑποληπτέον δύνασθαι εἶναι τὸ σύνολον ἀμφοτέρων τῶν σωμάτων ὑπὲρ τοῦ ὁρίζοντος θεωρουμένων ὑφ᾽ ἡμῶν ἐπὶ τῆς γῆς καὶ ἐν ταπεινώματι βεβηκότων, σελήνης ἔκλειψιν γίνεσθαι. ἀλλὰ πρῶτον μὲν ἀπαντητέον λέγοντας, ὅτι πέπλασται ὁ λόγος οὗτος, ὑπό τινων βουλομένων ἀπορίαν ἐμποιῆσαι τοῖς περὶ ταῦτα καταγινομένοις, τῶν ἀστρολόγων καὶ φιλοσόφων. πολλῶν δὲ ἐκλείψεων σεληνιακῶν γεγενημένων, καὶ τελείων καὶ κατὰ μέρος, καὶ ἀναγεγραμμένων πασῶν, οὐ-

δεὶς

lunæ fieri defectum in terræ humilitatem euntibus. Verùm primò occurrendum dicentibus quòd hæc conficta ſit oratio à quibuſdam philoſophis & aſtrologis iter facere ad hæc euenientia uolentibus. cum multi lunares ſint defectus, & perfecti, & particulares. Cum'que ſint literis commiſsi omnes, ne-

mo ad

δεὶς τοιαύτην ἔκλειψιν μέχρι γε τοῦ καθ' ἡμᾶς βίου ἱστορεῖται ἀναγεγραφὼς, οὐ χαλδαῖος, οὐκ αἰγύπτιος, οὐχ ἕτερος μαθηματικὸς καὶ φιλόσοφος. ἀλλὰ πλάσμα τὸ λεγόμενόν ἐστι. δεύτερον εἰ ἕτερον τρόπον ἐξέλειπεν ἡ σελήνη, ἀλλὰ μὴ τῇ σκιᾷ τῆς γῆς περιπίπτουσα, ἐξέλειπεν ἂν καὶ μὴ σὺν πανσελήνῳ, καὶ ὀλίγον καὶ πλέον προϊοῦσα ἀπὸ τοῦ ἡλίου. καὶ πάλιν μετὰ πανσέληνον προϊοῦσα αὐτῷ, καὶ μειουμένη. νῦν δὲ πλείστων ἐκλείψεων περὶ αὐτὴν γεγενημένων (καὶ γὰρ οὐδὲ σπανίως ἐκλείπει) οὐδέποτε μὴ πεπληρωμένη καὶ διαμετροῦ.

mo ad noſtra uſq; tempora talem defectum enarrauit, non Chaldæus, non Aegyptius, non alter mathematicus aut philoſophus: ſed quod dicitur, confictum eſt. Secundò, ſi alio pacto luna deficit, neque terræ umbram incurrens defecerit, neutiquam in plenilunio tum parum, tum plus à ſole progreſſa, rurſusque poſt plenilunium ſolem ipſum petens, & diminuta. Nunc uerò pluribus factis in ipſa defectibus (ſiquidem non raro deficit) nunquam non plena, & non ad-

μετροῦσα τὸν ἥλιον ἐξέλιπεν. ἀλλὰ μόνον ὅτε δύναται αὐτῇ τῇ σκιᾷ τῆς γῆς ἐντυγχάνειν. καὶ ἤδη γε προλέγονται πᾶσαι αἱ ἐκλείψεις αὐτῆς, ὑπὸ τῶν κανονικῶν. ἅτε γινωσκόντων, ὁπότε συμπίπτοι ἐν πανσελήνῳ, εὑρίσκεσθαι αὐτὴν, ὑπὸ τῷ μεσαιτάτῳ τοῦ ζῳδιακοῦ, ἢ ὅλην, ἢ κατὰ μέρος, καὶ οὕτως ἢ μερικὰς, ἢ τελείας τὰς ἐκλείψεις ποιεῖσθαι. ἀδύνατον οὖν, ἀμφοτέρων τῶν φώτων ὑπὲρ τὸν ὁρίζοντα ὁρωμένων, σεληνιακὴν γενέσθαι ἔκλειψιν. πολλῶν δὲ καὶ παντοδαπῶν περὶ τὸν ἀέρα παθῶν συνίστασθαι πεφυκότων, οὐκ ἂν εἴη ἀδύνα-

uerſa ſoli defecit, ſed duntaxat cum terræ demergi umbræ poteſt. Inſuperq; prædicuntur à canonicis cuncti eius defectus, utpote cognoſcẽtibus, cum in plenilunium incidat, inuenitur in ſigniferi medioxumo uel tota, uel eius pars, atque ita particulares uel integros defectus admittere. Fieri igitur non poteſt, ut ambobus ſupra finientem apparentibus luminibus, lunaris fiat defectus. Verùm enimuero cum multæ ac uariæ in aëre uim agnatam conſiſtendi habeant affectiones, impoſsibile non

ἀδύνατον, ἤδη καταδεδυκότος τοῦ ἡλίου καὶ ὑπὸ τὸν ὁρίζοντα ὄντος, φαντασίαν ἡμῖν προσπεσεῖν, ὡς μηδέπω καταδεδυκότος αὐτοῦ. ἢ νέφους παχυτέρου πρὸς τῇ δύσει ὄντος, καὶ λαμπρυνομένου ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων, καὶ ἡλίου ἡμῖν φαντασίαν ἀναπέμποντος. ἢ ἀνθηλίου γινομένου. καὶ γὰρ τοιαῦτα πολλὰ φαντάζεται ἐν τῷ ἀέρι, καὶ μάλιστα περὶ τὸν πόντον. δύναται δ᾽ αὖ καὶ ἡ ἀπὸ τῶν ὀμμάτων ἀποχεομένη ἀκτὶς, ἐνίκμῳ ἢ νοτερῷ τῷ ἀέρι ἐντυγχάνουσα, ἀνακλᾶσθαι καὶ ἐντυγχάνειν τῷ ἡλίῳ ἤδη ὑπὸ τοῦ ὁρίζοντος κεκρυμμένῳ.

non fuerit, cum iam ſol occiderit, ſub'que finiente fuerit, uiſionem nobis incidere, tanquam necdum occiderit, aut nube craſſiore exiſtente in occaſu, & luce perfuſa à ſolaribus radijs, ſole'que nobis uiſionis remittente imaginem, uel à ſole id fieri poteſt. Talia ſiquidem multa in aëre uiſione concipiuntur, præcipuè in Ponto. Poteſt porrò etiam effuſus ab oculis radius madidum & humectiorem nactus aërem, perfringi, ſolemq; aſſequi iam ſub finiente occulto.

τούτῳ γάρ τι ὅμοιον ἐπὶ ἡμῶν γίνεσθαι τετήρηται. ἐὰν γὰρ εἰς ποτήριον ἢ ἕτερόν τι σκεῦος, χρυσοῦς δακτύλιος ἐμβληθῇ, ἐὰν μὲν κενὸν ᾖ τὸ σκεῦος, ἐκ συμμέτρου διαστήματος οὐχ ὁρᾶται τὸ ἐγκείμενον, ἅτε ἀκωλύτως τοῦ ὁρατικοῦ πνεύματος ὑπὲρ τὰ χείλη τοῦ σκεύους διεκθέοντος ἐπ' εὐθείας. ὁπόταν μέντοι ὕδατος ἐμπλησθείη, ὡς γενέσθαι ἰσοχειλές, ὁρᾶται ἐκ τοῦ αὐτοῦ διαστήματος ἐγκείμενος τῷ σκεύει ὁ δακτύλιος, οὐκέτι ὑπὲρ τὰ χείλη διεκθέοντος τοῦ ὁρατικοῦ πνεύματος. ἀλλ' ἐφαπτομένου τοῦ ὕδατος ὑπὲρ τὰ χείλη τοῦ πε-

Huic nanq; ſimile obſeruatum eſt nobis euenire. Nam ſi in poculum, aut uas aliud annulus immittatur aureus, ſit' que uas inane ex moderato qui ibi poſitus annulus, non ſpectatur interuallo, labris uiſualem ſpiritum uaſis præpedientibus in rectam lineam excurrentibus. Cum uerò aqua impleatur, ut ad labrorum æqualitatem aqua perueniat, ab eodem interuallo in uaſe ſpectatur annulus, cum tamen intra labia non excurrat ſpiritus uiſualis, ſed aquam attingat pleni uaſis labrorum tenus,

τοῦ πεπλησμένου, καὶ οὕτω κατακλωμένου, καὶ εἰς τὸ βάθος τοῦ σκεύους ἰόντος, καὶ τῷ δακτυλίῳ ἐντυγχάνοντος. δύναιτ' ἂν οὖν ἴσως καὶ ὑδατινοτέρου καὶ διύγρου ἀέρος παραπλήσιον ἀπαντῆσαι· ὡς κατακλασθεῖσαν τὴν ἀπὸ τοῦ ὄμματος ἀκτῖνα, ὑπὸ τὸν ὁρίζοντα δῦσαι, καὶ ἤδη καταδεδυκότι τῷ ἡλίῳ ἐντυχεῖν, ὡς φαντασίαν ἐγγενέσθαι, ἔτι ὑπὲρ τὸν ὁρίζοντα εἶναι αὐτόν. τάχα δὲ ἄν τι καὶ ἕτερον τούτοις ἐπεοικὸς δύναιτ' ἂν ἡμῖν ποτε φαντασίαν ἐμποιῆσαι, ὡς τῶν δύο σωμάτων ὑπὲρ τὸν ὁρίζοντα ὄντων, τοῦ ἡλίου ἤδη καταδεδυκότος. τὸ δ' ἐκλείπειν

tenus, atque ita perfringatur, in'que uaſis fundum penetret, annulum'que conſequatur. Humidiore igitur & aqua uberiore aëre, idem propemodum potuerit occurrere, ut perfractus ab oculo radius ad finientem uergat, & ubi iam ſol occiderit, ipſum tamen uiſionis imagine conſequatur, tanquam ſit ſupra finientem fortaſſe: & his aliquid aliud ſimile nobis per uiſionis imaginem fecerit, ut duobus corporibus ſupra finientem exiſtentibus, cum iam ſol occiderit, luna

τῆς σελήνης μὴ ἄλλως ἢ εἰς τὴν σκιὰν τῆς γῆς ἐμπίπτουσαν, ἐναργὲς ἐκ τῶν φαινομένων ἐστί. καὶ περὶ μὲν ἐκλείψεως ἤδη τοσαῦτα.

Περὶ τῶν πλανητῶν.

Λέγεται δὲ ἡ μὲν σελήνη πλέον ἀφίστασθαι ἐφ' ἑκάτερα τοῦ διὰ μέσων τῶν ζωδίων, τῶν ἄλλων πλανητῶν. εἶτα μετ' αὐτὴν ἡ ἀφροδίτη, μοίρας ε. ἐφ' ἑκάτερον ἰοῦσα κατὰ τὴν πλανητικὴν κίνησιν. ἑρμῆς δὲ, ἀνὰ δ. ἄρης δὲ καὶ ζεὺς, ἀνὰ δύο ἥμισυ μοίρας. κρόνος ἀνὰ μίαν ἑκατέρωθεν. τοῦ δὲ ἡλίου, ἑρμῆς καὶ ἀφροδίτη παντὶ διαστήματι οὐκ ἀφίστανται. ἀλλ' ὁ μὲν στίλβων, τὰς πλεί-

στας

deficiat, quæ aliter nõ poteſt, niſi terræ umbram incurrerit. Id ex eis quæ apparent, perſpicuum eſt. Ac de eclipſi quidẽ hactenus.

De uagis ſtellis.

Luna plus alijs uagis ſtellis ab utraque parte eclipticæ diſtare inuenitur. Poſt lunam Venus partes quinque in utramlibet partem iens iuxta errabundum motum. Mercurius ad quatuor. tam Mars quàm Iupiter ad duas & dimidiam, Saturnus utrinque ad unam: à ſole Mencurius & Venus omni non abſunt interuallo, ſed radians Mercurius quidem uix

plures

στὰς μοίρας . κ΄ . ὁ δὲ φωσφόρος, τὰς πλείστας . ν΄ . τρεῖς δ' οἱ ἄλλοι, πολὺ διάστημα ἀφίστανται αὐτοῦ παραπλησίως τῇ σελήνῃ . σύνοδον δὲ πρὸς ἥλιον ποιεῖται, ἑρμῆς μὲν, διὰ ἡμερῶν ρις . μέσου τούτου γινομένου . ἀφροδίτη δὲ εἰς ταυτὸν ἀποκαθίσταται αὐτῷ, διὰ ἡμερῶν φπδ . ἄρης δὲ διὰ ἡμερῶν ψπ . ζεὺς δὲ, διὰ τϟη . κρόνος δὲ, διὰ τοη . καὶ περὶ μὲν τούτων, ἐπὶ τοσοῦτον πρός γε τὸ παρὸν εἰρήσθω . εἰσὶ δ' αἱ σχολαὶ αὗται, οὐ τοῦ γράψαντος αὐτοῦ

plures partes quàm uiginti, Lucifer autē paulo plures quàm quinquaginta. Tres autem ſtellæ aliæ omnibus abſunt interuallis propemodum ut luna. Ad coitum autē cum ſole peruenit Mercurius, intra centum ac decem dies ad eius medium. Venus idem quod Mercurius facit diebus quingentis octoginta quatuor. Mars diebus ſeptingentis octoginta. Iupiter trecentis nonaginta octo. Saturnus trecentis ſeptuaginta octo. Ac de his quidem in præſentia ſatis. Sunt uerò huiuſmodi exercitationes non ad gloriam aliquam

αὐτοῦ δόξας περιέχουσαι. ἀλλ᾽ ἐκ συγγραμμάτων τινῶν ἠθροισμέναι, τῶν παλαιῶν καὶ νεωτέρων. τὰ πολλὰ δὲ τῶν εἰρημένων, ἐκ τῶν ποσειδωνίου εἴληπται.

aliquam comparandam traditæ, ſed congeſtæ ex eis quæ nonnulli priſci ac iuniores memoriæ prodiderunt. Plura uerò ex ijs quæ diximus, ex Poſidonio huic operi aſciuimus.

Τὸ τοῦ κλεομήδους περὶ κόσμου τέλος.

Cleomedis de mundo finis.

ARATOY ΣΟΛΕΩΣ

ΦΑΙΝΟΜΕΝΑ.

Ἐκ Διὸς ἀρχώμεθα, τὸν οὐδέποτ' ἄνδρες ἐῶμεν
Ἄῤῥητον. μεσαὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαί·
Πᾶσαι δ' ἀνθρώπων ἀγοραί· μεστὴ δὲ θάλασσα,
Καὶ λιμένες· πάντη δὲ Διὸς κεχρήμεθα πάντες.
Τοῦ γὰρ καὶ γένος ἐσμέν. ὁ δ' ἤπιος ἀνθρώποισι
Δεξιὰ σημαίνει. λαοὺς δ' ἐπὶ ἔργον ἐγείρει,
Μιμνήσκων βιότοιο. λέγει δ' ὅτε βῶλος ἀρίστη
Βουσί τε καὶ μακέλῃσι. λέγει δ' ὅτε δεξιαὶ ὧραι,
Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
Αὐτὸς γὰρ τάγε σήματ' ἐν οὐρανῷ ἐστήριξεν,
Ἄστρα διακρίνας. ἐσκέψατο δ' εἰς ἐνιαυτὸν
Ἀστέρας. οἵ κε μάλιστα τετυγμένα σημαίνοιεν
Ἀνδράσιν ὡράων, ὄφρ' ἔμπεδα πάντα φύωνται.
Τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται.

Χαῖρε

ARATI SOLENSIS
APPARENTIA.

A IOVE *principium: quem nunquam mittimus ipſi*
Infatum. plena uerò Iouis omnia qu dem compita:
Omnes uero hominũ cœtus: plenum uerò mare,
Et portus. Vbiq; autem Ioue indigemus omnes.
Huius etenim genus ſumus. Hic uerò beneuolus hominibus
Cõmoda ſignificat: populos aũt ad opus excitat,
Commonens uictus. prædicat item quando gleba optima
Bobusq; & ligonibus: prædicat inquam quando ſecunda tempora
Et plantas ſcrobibus infodere, & ſemina quælibet iácere.
Ipſe enim ſigna in cœlo firmauit,
Sidera diſpertitus: prouidit uerò ad annum
Stellas, quæ potiſsimum faciunda indicarent
Hominib temporũ, quo ſtata cuncta naſcerẽtur.
Eoq; ipſum ſemper primumq; & ultimũ placant.

Χαῖρε πάτερ μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ,
Αὐτὸς καὶ προτέρη γενεή. χαίροιτε δὲ μοῦσαι,
Μειλίχιαι μάλα πᾶσαι. ἐμοί γε μὲν ἀστέρας εἰπεῖν
Εἰ θέμις εὐχομένῳ, τεκμήρατε πᾶσαν ἀοιδήν.
Οἱ μὲν ὁμῶς πολέες τε, καὶ ἄλλυδις ἄλλοι ἐόντες,
Οὐρανῷ ἕλκονται πάντ' ἤματα συνεχὲς αἰεί.
Αὐτὰρ ὅγ' οὐδ' ὀλίγον μετανίσσεται, ἀλλὰ μάλ' αὔτως
Ἄξων αἰὲν ἄρηρεν. ἔχει δ' ἀτάλαντον ἁπάντη
Μεσσηγὺς γαῖαν. περὶ δ' οὐρανὸς αὐτὸν ἀγινεῖ.
Καί μιν πειραίνουσι δύο πόλοι ἀμφοτέρωθεν.
Ἀλλ' ὁ μὲν οὐκ ἐπίοπτος, ὁ δ' ἀντίος ἐκ βορέαο,
Ὑψόθεν ὠκεανοῖο. δύω δέ μιν ἀμφὶς ἔχουσαι
Ἄρκτοι, ἅμα τροχόωσι. τὸ δὴ καλέονται ἅμαξαι.
Αἳ δή τοι κεφαλὰς μὲν ἐπ' ἰξύας αἰὲν ἔχουσιν
Ἀλλήλων. αἰεὶ δὲ κατωμάδιαι φορέονται,
Ἔμπαλιν εἰς ὤμους τετραμμέναι. εἰ ἐτεὸν δὴ,
Κρήτηθεν κεῖναι δὲ διὸς μεγάλου ἰότητι
Οὐρανὸν εἰσανέβησαν, ὅ μιν τότε κουρίζοντα
Δίκτῳ ἐν εὐώδει ὄρεος σχεδὸν ἰδαίοιο
Ἄντρῳ ἐγκατέθεντο, καὶ ἔτρεφον εἰς ἐνιαυτόν.

Δικταῖοι

Salue pater, magna admiratio, magna hominibus utilitas:
Ipſe, & prior generatio. Saluete uerò Muſæ
Suauiſsimæ omnes. mihi quidem ſtellas dicendi,
Si fas oranti, promite omnem cantum.
Hæ quidē ſimul multæq;, & alibi aliæ exiſtētes
Cœlo uoluūtur omnib. diebus cōtinuo per æuū.
At ne tantillum quidem circumuertitur, ſed plane immobiliter (omnino
Axis ſemper firmatus eſt: habetq; æquilancinam
In medio terram. circa aūt cœlū hunc ſe uerſat.
Etiam ipſum terminant duo poli utrinq;:
Verùm ille quidem non conſpicuus, hic uerò oppoſitus eſt è Borea (cumtenentes
Ex alto ſupra Oceanum. Duæ autem ipſum cir-
Vrſæ, unà currunt: eoq; uocantur plauſtra.
Quæ ſcilicet capita quidē ad lūbos ſemp̄ habēt
Inuerſim: ſemper uerò reſupinæ circūferuntur,
Viciſsim in humeros uerſæ (ſi credere dignum)
È Creta uerò illæ Iouis magni beneficio
Cœlū aſcenderūt: quia ipſum olim infantiētem
Dicto in odoro montem prope Idæum,
Antro impoſuerunt, atq; nutrierūt per annum,

Δικταῖοι κούρητες ὅτε κρόνον ἐψεύδοντο.
Οἱ τὴν μὲν κυνόσουραν ἐπίκλησιν καλέουσι,
Τὴν δ' ἑτέρην, ἑλίκην. ἑλίκῃ γε μὲν ἄνδρες ἀ-
Εἰν ἁλὶ τεκμαίρονται ἵνα χρὴ νῆας ἀγινεῖν. (χαιοὶ
Τῇ δ' ἄρα φοίνικες πίσυνοι περόωσι θάλασσαν.
Ἀλλ' ἡ μὲν καθαρὴ, καὶ ἐπιφράσσασθαι ἑτοίμη,
Πολλὴ φαινομένη ἑλίκη πρώτης ἀπὸ νυκτός.
Ἡ δ' ἑτέρη ὀλίγη μὲν, ἀτὰρ ναύτῃσιν ἀρείων·
Μειοτέρη γὰρ πᾶσα περιστρέφεται στροφάλιγγι.
Τῇ καὶ σιδόνιοι ἰθύντατα ναυτίλλονται.
Τὰς δὲ δι' ἀμφοτέρας, οἵη ποταμοῖο ἀπορρὼξ,
Εἰλεῖται, μέγα θαῦμα, δράκων περί τ' ἀμφί τ' ἐαγὼς
Μυρίος. αἱ δ' ἄρα οἱ σπείρης ἑκάτερθε φύονται
Ἄρκτοι, κυανέου πεφυλαγμέναι ὠκεανοῖο.
Αὐτὰρ ὅγ' ἄλλην μὲν νεάτῃ ἀποτείνεται οὐρῇ.
Ἄλλην δὲ σπείρῃ περιτέμνεται. ἡ μέν οἱ ἄκρη
Οὐρὴ πὰρ κεφαλὴν ἑλίκης ἀναπαύεται ἄρκτου.
Σπείρῃ δ' ἐν κυνόσουρα κάρη ἔχει. ἡ δὲ κατ' αὐτὴν
Εἰλεῖται κεφαλὴν, καί οἱ ποδὸς ἔρχεται ἄχρις.
Ἐκ δ' αὖτις παλίνορσος ἀνατρέχει. οὐ μὲν ἐκείνῃ
Οἰόθεν, οὐδ' οἶος κεφαλῇ ἐπιλάμπεται ἀστήρ.

Ἀλλὰ

Dictæi Curetes quando Saturnum fallebant.
Qui hanc quidẽ Cynoſurã cognomine dicunt,
Alteram uerò Helicen. Helice quidẽ uiri Achiui
In mari ſignãt, quò oporteat naues dirigere:
Altera uerò Phœnices fiſi, perſulcant mare.
At Helice quidem clara eſt, ac obſeruatu parata,
Multa lucens prima à nocte:
Altera uerò obſcura quidem, ſed nautis aptior:
Minori enim tota circumuerſatur orbe.
Hac quoq; Sidonij rectiſſimè nauigant.
Has uerò per ambas, qualis fluuij decurſus
Volutatur (horrendum ingens) draco circum-
circa diſtractus
Immẽſus. Verùm ei ex utraq; parte ſpiræ hærẽt
Vrſæ, cæruleo ſeruatæ Oceano.
Sed hic alterã quidem extrema emetitur cauda,
Alterã uerò ſpira circũſcribit. ei quidem ſumma
Cauda ad caput Helices quieſcit Vrſæ:
In ſpira uerò Cynoſura caput habet: hæc autem
circum ipſum
Gyratur caput: eiq; ad pedem uenit uſq;.
Rurſus uerò retrofugus recurrit, non quidẽ illa
Ex ſola parte; neq; ſola in capite ſplendet ſtella,

Ἀλλὰ δύο κροτάφοις, δύο δ' ὄμμασιν, εἷς δ' ὑπένερθεν
Ἐσχατιὴν ἐπέχει γένυος δεινοῖο πελώρου.
Λοξὸν δ' ἐστὶ κάρη. νεύοντι δὲ πάμπαν ἔοικεν
Ἄκρην εἰς ἑλίκης οὐρήν. μάλα δ' ἐστὶ κατ' ἰθὺ
Καὶ στόμα καὶ κροτάφοιο τὰ δεξιὰ νειάτῳ οὐρῇ.
Κείνη που κεφαλὴ τῇ νίσσεται, ἧχί περ ἄκραι
Μίσγονται δύσιές τε καὶ ἀντολίαι ἀλλήλῃσι.
Τῆς δ' αὐτοῦ μογέοντι κυλίνδεται ἀνδρὶ ἐοικὸς
Εἴδωλον. τὸ μὲν οὔτις ἐπίσταται ἀμφαδὸν εἰπεῖν,
Οὐδ' ὅτινι κρέμαται κεῖνος πόνῳ, ἀλλά μιν αὔτως
Ἐνγόνασι καλέουσι, τὸ δ' αὖτ' ἐν γούνασι κάμνον
Ὀκλάζοντι ἔοικεν. ἐπ' ἀμφοτέρων δέ οἱ ὤμων
Χεῖρες ἀείρονται. τάνυται γε μὲν ἄλλυδις ἄλλῃ
Ὅσσον ἐς ὀργυιήν. μέσσῳ δ' ἐφύπερθε καρήνῳ
Δεξιτεροῦ ποδὸς ἄκρον ἔχει σκολιοῖο δράκοντος.
Αὐτοῦ κἀκεῖνος στέφανος, τὸν ἀγαυὸν ἔθηκε
Σῆμ' ἔμεναι Διόνυσος ἀποιχομένης ἀριάδνης,
Νώτῳ ὑποστρέφεται κεκμηκότος εἰδώλοιο.
Νώτῳ μὲν στέφανος πελάει. κεφαλῇ γε μὲν ἄκρῃ
Σκέπτεο πὰρ κεφαλὴν ὀφιούχου. ἐκ δ' ἄρ' ἐκείνης

Αὐτὸν

Sed duæ in tẽporibus, duæ uerò in oculis: unus autem inferius
Extremitatem occupat genæ horrendi monſtri.
Incuruum autem eſt caput, nutanti uerò prorſus aſsimilatum eſt (ex directo
Extremam in Helices caudam: omnino uerò ſunt
Et os & temporis dextera extremæ caudæ.
Illud fermè caput hac natat, ubi quidem extremi
Miſcentur occaſusq; & ortus ſibi iuuicem.
Hoc uerò prope laboranti uoluitur uiro ſimile
Idolum, quod quidẽ nemo ſcit manifeſtò dicere:
Neq; cui incumbat ille labori: ſed ipſum uulgò
Engonaſi uocant: eo quòd in genubus laborans,
Geniculanti ſimile eſt: ſuper ambabus uerò ei humeris
Manus eleuantur: diſtenditur certè hinc inde
Quãtũ ad manuũ paſsũ. medio uerò ſuper capite
Dextri pedis imum habet tortuoſi draconis.
Ibidem & illa corona, quam lucidum poſuit
Signum eſſe Bacchus morientis Ariadnæ,
Humero ſubuoluitur fatigati idoli, (ſummum
Humero quidem Corona uicina eſt. caput uerò
Obſerua iuxta caput Serpentarij: ex illo nanq;

Αὐτὸν ὑποφράσσαιο φαεινόμενον ὀφιοῦχον.
Τοῖοί οἱ κεφαλῇ ὑποκείμενοι ἀγλαοὶ ὦμοι
Εἴδονται. κεῖνοί γε καὶ ἂν διχόμηνι σελήνῃ
Εἰσωποὶ τελέθοιεν. ἀτὰρ χέρες οὐ μάλα ἶσαι.
Λεπτὴ γὰρ τῇ καὶ τῇ ἐπιδέδρομεν αἴγλη.
Ἀλλ' ἔμπης κἀκεῖναι ἐπόψιαι, οὐ γὰρ
ἐλαφραί. (μέσσον
Ἀμφότεραι δ' ὄφιος πεπονείαται, ὅς ῥά τε
Δινεύει ὀφιοῦχον. ὁ δ' ἐμμενὲς εὖ
ἐπαρηρὼς
Ποσσὶν ἐπιθλίβει μέγα θηρίον ἀμφοτέροισι
Σκορπίον, ὀφθαλμῷ τε καὶ ἐν θώρηκι βεβηκὼς
Ὀρθός. ἀτάρ οἱ ὄφις γε δύο στρέφεται μετὰ χερσίν.
Δεξιτερῇ ὀλίγος, σκαιῇ γε μὲν ὑψόθι πολλός.
Καὶ δή οἱ στεφάνῳ παρακέκλιται ἄκρα γένεια.
Νειόθι δὲ σπείρης μεγάλας ἐπιμαίεο χηλάς.
Ἀλλ' αἱ μὲν φαέων ἐπιδευέες, οὐδὲν ἀγαυαί.
Ἐξόπιθεν δ' ἑλίκης φέρεται ἐλάοντι ἐοικὼς
Ἀρκτοφύλαξ. τόν ῥ' ἄνδρες ἐπικλείου-
σι Βοώτην,
Οὕνεχ' ἁμαξαίης ἐπαφώμενος εἴδεται ἄρκτου.
Καὶ μάλα πᾶς ἀρίδηλος. ὑπὸ ζώνῃ δὲ
οἱ αὐτὸς

Ἐξ

Ipſum deprehēdas licet ſplendidū Serpentariū.
Quales ſibi capiti ſubiacentes clari humeri
Apparent: ij quidem etiam plena luna
Cōſpicuæ eſſēt. Sed manus nō admodū æquales:
Tenuis nanq; hinc inde exit ſplendor:
Attamen etiam illæ contemplabiles: non enim modicæ ſunt.
Ambæ aūt ſerpente fatigātur: qui quidē medium
Inuoluit Serpentarium: hic uerò conſtanter apteq; innixus
Pedibus conterit magnam feram ambobus
Scorpium, oculoq; & in pectore calcans
Rectus: ſed ei ſerpēs ambas uoluitur per manus,
Dexterā modicus, ſiniſtrā uerò supernè multus.
Atq; ei ſanè Coronā attingunt ſupremæ genæ.
Subter ſpiram autem magnas inquire Chelas:
Sed hæ quidē luminū indigæ, nequaq̄ ſplēdidæ,
At poſt Helicen circumfertur auriganti ſimilis
Arctophylax, quem quidem homines cognominant Booten,
Eo quòd plauſtrum contrectare uidetur Vrſæ.
Atque adeò totus perſpicuus eſt. ſub zona uerò ſibi ipſe

Ἐξ ἄλλων ἀρκτοῦρος ἑλίσσεται ἀμφαδὸν ἀστήρ.
Ἀμφοτέροισι δὲ ποσσὶν ὑποσκέψαιο Βοώτου
Παρθένον. ἥ ῥ' ἐν χερσὶ φέρει στάχυν
 αἰγλήεντα.
Εἴτ' οὖν ἀστραίου κείνη γένος, ὅν ῥά τέ φασιν
Ἄστρων ἀρχαῖον πατέρ' ἔμμεναι, εἴτε τευ
 ἄλλου,
Εὔκηλος φορέοιτο. λόγος γε μὲν ἐντρέχει ἄλλος
Ἀνθρώποις, ὡς δῆθεν ἐπιχθονίη
 πάρος ἦεν. (ἀνδρῶν,
Ἤρχετο δ' ἀνθρώπων κατεναντίη. οὐδέ ποτ'
Οὐδέ ποτ' ἀρχαίων ἠνήνατο φῦλα γυναικῶν.
Ἀλλ' ἀναμὶξ ἐκάθητο καὶ ἀθανάτη περ ἐοῦσα.
Καί ἑ δίκην καλέεσκον. ἀγειρομένη δὲ γέροντας,
Ἠέ που εἰν ἀγορῇ, ἢ εὐρυχόρῳ ἐν ἀγυιῇ,
Δημοτέρας ἤειδεν ἐπισπέρχουσα θέμιστας.
Οὔπω λευγαλέου τότε νείκεος ἠπίσταντο,
Οὐδὲ διακρίσιος περιμεμφέος, οὐδὲ κυδοιμοῦ.
Αὔτως δ' ἔζωον. χαλεπὴ δ' ἀπέ-
 κειτο θάλασσα,
Καὶ βίον οὔπω νῆες ἀπόπροθεν ἠγίνεσκον,
Ἀλλὰ βόες ἄροτρα. καὶ αὐτὴ πότνια λαῶν
Μυρία πάντα παρεῖχε δίκη δώτειρα δικαίων.

Τόφρ'

Præ alijs Arcturus obuoluitur lucida ſtella.
Verùm ambobus ſub pedibus obſeruato bubulci
Virginem: quæ quidem in manibus gerit ſpicam
ſplendidam.
Siue igitur Aſtræi illa proles, quem utiq; ferunt
Aſtrorum primæuorum patrem eſſe, ſiue cuiu-
ſpiam alius,
Secura uerſetur. fabula certè incidit alia
Hominibus, quod ferè in terra conuerſata quon
dam ſit. (unquam uirorum
Veniebat autem hominum in conſpectum: nec
Nec unquam ueterũ recuſabat cœtus mulierũ:
Sed pmixtim cõſidebat quãuis immortalis eſſet.
Atq; ipſam Iuſtitiã uocabãt. cõgregãs aũt ſenes,
Aut alicubi in foro, aut propatulo in compito,
Ciuiles monſtrabat ſtudioſa leges.
Nondum pernicioſam tunc litem norant,
Nec diſceptationẽ cõtẽtioſam, neq; ſeditionem.
Sed ſimpliciter uiuebant. periculoſum autẽ pro-
cul aberat mare:
Atq; uictũ nondũ naues è longinquo ducebant,
Sed boues aratra: etiam ipſa domina populorum
Copioſa oĩa ſuppeditabat Iuſtitia datrix iuſtorũ.

Τόφρ' ἦν ὄφρ' ἔτι γαῖα γένος χρύσειον
ἔφερβεν.
Αργυρέῳ δ' ὀλίγη τε καὶ οὐκέτι πάμπαν ἑτοίμη
Ομίλει, ποθέουσα παλαιῶν ἤθεα λαῶν.
Αλλ' ἔμπης ἔτι κεῖνο κατ' ἀργύρεον γένος ἦεν.
Ηρχετο δ' ἐξ ὀρέων ὑποδείελος ἠχηέντων
Μουνάξ. οὐδὲ τῳ ἐπεμίσγετο μειλιχίοισιν. (νας,
Αλλ' ὁπότ' ἀνθρώπων μεγάλας πλήσαιτο κολώ
Ηπείλει δ' ἤπειτα καθαπτομένη κακότητος.
Οὐδ' ἔτ' ἔφη εἰσωπὸς ἐλεύσεσθαι
καλέουσιν.
Οἵην χρύσειοι πατέρες γενεὴν ἐλίποντο
Χειροτέρην. ὑμεῖς δὲ κακώτερα τεξείεσθε.
Καὶ δή που πόλεμοι καὶ δὴ καὶ ἀνάρσιον αἷμα
Εσσεται ἀνθρώποισι. κακὸν δ' ἐπικείσεται ἄλγος.
Ως εἰποῦσ' ὀρέων ἐπεμαίετο. τοὺς δ' ἄρα λαοὺς
Εἰς αὐτὴν ἔτι πάμπαν ἐλίμπανε πα-
πταίνοντας.
Αλλ' ὅτε δὴ κἀκεῖνοι ἐτέθνασαν, οἱ δ' ἐγένοντο,
Χαλκείη γενεὴ, προτέρων ὀλοώτεροι ἄνδρες.
Οἳ πρῶτοι κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
Εἰνοδίην, πρῶτοι δὲ βοῶν ἐπάσαντ' ἀροτήρων.
Καὶ τότε μισήσασα Δίκη κείνων γένος ἀνδρῶν,

Επτη θ'

Tamdiu aderat quamdiu itẽ terra genus aureum fouebat. (parata
Argenteo autem raraq; & non amplius omnino
Cõuerſabat, deſiderans ueterũ mores populorũ:
Veruntamẽ adhuc illo in argenteo ſeculo erat:
Sed ueniebat è montibus poſt crepuſculũ argutis
Solitaria: neq; cuiquã congrediebatur blãditijs.
Verũ quãdo hominũ magnas impleuiſſet urbes,
Increpabat ſubinde carpens malitiam.
Neq; amplius, inquit, uiſendam me dabo uenire rogantibus.
Mirum quàm aurei patres ſeculum reliquerint
Deterius: uos autem peiora generabitis.
Tũc ſcilicet bella atq; etiã promiſcuè fuſus cruor
Futurus eſt hominib. malo aũt impẽdebit dolor.
Sic locuta montes repetebat. Verùm populos
In ipſam adhuc, prorſus deſerebat, oculos conijcientes.
Cæterũ quãdo etiam illi obierunt, alij nati ſunt,
Aenea ætas, prioribus perniciosiores homines.
Qui primi maleficũ fabricarũt gladium (rios.
Viatoriũ: primi etiã boues edere ceperũt opera-
Atq; tunc exoſa Iuſtitia illorũ genus hominum,

Volauit

Ἔπτατ' ὑπουρανίη. ταύτην δ' ἄρα νάσσατο χώρην
Ἧχί περ ἐννυχίη ἔτι φαίνεται ἀνθρώποισι
Παρθένος, ἐγγὺς ἐοῦσα πολυσκέπτοιο Βοώτου.
Τῆς ὑπὲρ ἀμφοτέρων ὤμων εἱλίσσεται ἀστὴρ
Δεξιτερῇ πτέρυγι, προτρυγητὴρ δ' αὖτε καλεῖται.
Τόσσος μὲν μεγέθει, τοίῃ δ' ἐγκείμενος αἴγλῃ,
Οἷος καὶ μεγάλης οὐρὴν ὑποφαίνεται ἄρκτου.
Δεινὴ γὰρ κείνη, δεινοὶ δέ οἱ ἐγγύθεν εἰσὶν
Ἀστέρες. οὐκ αὖ τούς γε ἰδὼν
  ὤδ' ἔτι τεκμήραιο.
Οἷός οἱ πρὸ ποδῶν φέρεται καλός τε μέγας τε,
Εἷς μὲν ὑπ' ὠμαίων, εἷς δ' ἰξυόθεν
  κατιόντων,
Ἄλλος δ' οὐραίοις ὑπὸ γούνασιν. ἀλλ' ἄρα πάντες
Ἁπλόοι ἄλλοθεν ἄλλος ἀνωνυμίη φορέονται.
Κρατὶ δ' οἱ δίδυμοι. μέσσῃ δ' ὑπὸ καρκίνος ἐστί.
Ποσσὶ δ' ὑπ' ἀμφοτέροισι λέων ὑπὸ καλὰ φαείνει.
Ἔνθα μὲν ἠελίοιο θερείταταί εἰσι κέλευθοι.
Αἱ δέ που ἀσταχύων κενεαὶ φαίνονται ἄρουραι
Ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.
Τῆμος καὶ κελάδοντες ἐτησίαι εὐρέϊ πόντῳ
Ἀθρόοι ἐμπίπτουσι. ὁ δὲ πλόος οὐκ ἔτι κώπαις
Ὥριος. εὐρεῖαί μοι ἀρέσκοιεν τότε νῆες.

Εἰς

Volauit ſub cœlũ: eãq́; fortè occupauit regionẽ,
Vbi nam nocturna adhuc cernitur hominibus
Virgo, uicinè exiſtens perſpicuo bubulco.
Cuius ſup ambobus humeris circũuertitur ſtella
Ad dexterã alam. præuindemiator aũt uocatur:
Tãta quidẽ magnitudine, taliq́; inſidẽs ſplẽdori,
Qualis etiam magnæ ſub cauda lucet urſæ.
Ardẽs profecto illa, ardẽtes etiã ei cominus ſunt
Stellæ, nec forſan haſce contuitus tibi inquiſitione opus fuerit.
Qualis ei ante pedes fertur claraq́; magnaq́;,
Vna quoque ſub humeris, una item lumbotenus obeuntium, *(uerò omnes*
Alia præterea poſterioribus ſub genubus. Aliæ
Mediocres alibi alia ſine nomenclatura ferũtur.
Capiti aũt ei Gemini, mediæ uerò Cãcer ſubeſt:
At pedibus ſub ambobus Leo clarè ſublucet.
Ibi quidem ſolis ardentiſsimi ſunt curſus,
Atq; tum ſpicarum uacua apparent arua,
Sole primum accedente Leonem.
Tunc etiã ſuſurrantes Eteſiæ uaſtũ pontũ *(mis*
Glomerati irruũt: nauigatio aũt nõ amplius re-
Tempeſtiua eſt: magnæ mihi placerẽt tũc naues:
Contra

Εἰς ἄνεμον δὲ τὰ πολλὰ κυβερνητῆρες
ἔχοιεν.
Εἰ δέ τοι ἡνίοχόν τε καὶ ἀστέρας ἡνιόχοιο
Σκέπτεσθαι δοκέοι, καί τοι φάτις ἤλυθεν αἰγὸς
Αὐτῆς, ἠδ᾽ ἐρίφων, οἵ τ᾽ εἰν ἁλὶ πορφυρέουσι
Πολλάκις ἐσκέψαντο κεδαιομένους ἀνθρώπους,
Αὐτὸν μὲν μιν ἅπαντα μέγαν διδύ-
μων ἐπὶ λαιᾶ
Κεκλιμένον δήεις. ἑλίκης δέ οἱ ἄκρα κάρηνα
Αντία δινεύει. σκαιῷ δ᾽ ἐπελήλα-
ται ὤμῳ
Αἴξ ἱερή. τὴν μέν τε λόγος Διὶ μαζὸν ἐπισχεῖν.
Ὠλενίην δέ μιν αἶγα Διὸς καλέουσ᾽ ὑποφῆται.
Ἀλλ᾽ ἡ μὲν πολλή τε καὶ ἀγλαή. οἱ δέ οἱ αὐτοῦ
Λεπτὰ φαείνονται ἔριφοι καρπὸν κατὰ χειρός.
Πὰρ ποσὶ δ᾽ ἡνιόχου κεραὸν πεπτηότα ταῦρον
Μαίεσθαι. τὰ δέ οἱ μάλ᾽ ἐοικότα σήματα κεῖται.
Τοίη ἡ κεφαλὴ διακέκριται. οὐδέ τις ἄλλῳ
Σήματι τεκμήραιτο κάρη βοός. οἷά μιν
αὐτοὶ
Ἀστέρες ἀμφοτέρωθεν ἑλισσόμενοι τυπόωσι.
Καὶ λίην κείνων ὄνομ᾽ εἴρεται. οὐδέ τοι αὔτως
pricorno coóccidit. Is quoq; ſoli occũbenti condeſcendens, ultra mediam noctem in occaſu moratur: nam quodlibet ſignũ zodiaci duas horas occaſu ſuo abſoluit, tria uerò ſex. Hic autẽ cum Capricorno *quarto ſigno totus demum occumbit. V*nde *noctes, in quibus ueſpere occidere incipit, ſerò occidenti dicuntur.* Quin Homerus ὀψὲ δύοντα *eundem appellat.*

409 Concin*unt enim iam*) Refert *Arati commentator, iſtis temporibus aſtronomos tabulas publicè in urbibus ſuſpendiſſe, quibus uſq; ad decimumnonum annum durantibus, quatuor anni partium initia & fines, pluuias & uentos, aliaq; ad uitam conducentia monſtrabant.* Præterea *ſingulari obſeruatione uſos circa* Orionem & Canem.

409 *Etiam* Neptuni *conſpectæ, &c.*) Neptu*ni ſtellæ, quæ ſuo ortu uel occaſu tempeſtatem ſerenitatem'ue nunciant:* Iouis, *quæ agrorum culturam.*

ANNOTATIONVM IN ARATI Phænomena *finis.*

ΔΙΟΝΥΣΙΟΥ ΟΙΚΟΥΜΕΝΗΣ ΠΕΡΙΗΓΗΣΙΣ.

Ἀρχόμενος γαῖάν τε καὶ εὐρέα πόντον ἀείδειν,
Καὶ ποταμοὺς, πόλιάς τε καὶ ἀνδρῶν ἄκριτα φῦλα,
Μνήσομαι ὠκεανοῖο βαθυῤῥόου. ἐν γὰρ ἐκείνῳ
Πᾶσα χθὼν ἅτε νῆσος ἀπείριτος ἐστεφάνωται.
Οὐ μὴν πᾶσα διαπρὸ περίδρομος, ἀλλὰ διαμφὶς
Ὀξυτέρη βεβαυῖα πρὸς ἠελίοιο κελεύθους,
Σφενδόνῃ ἐοικυῖα. μίαν δέ ἑ καὶ πὲρ ἐοῦσαν
Ἄνθρωποι τριοχῇσιν ἐπ' ἠπείροισι δάσαντο.
Πρώτην μὲν λιβύην, μετὰ δ' εὐρώπην, ἀσίην τε.
Ἀλλ' ἤτοι λιβύη μὲν ἀπ' εὐρώπης ἔχει οὖρον,
Λοξὸν ἐπὶ γραμμῇσι, γάδειρά τε καὶ στόμα νείλου.
Ἔνθα βορειότατος πέλεται μυχὸς αἰγύπτοιο,
Καὶ τέμενος περίπυστον ἀμυκλαίοιο κανώβου.
Εὐρώπην δ' ἀσίης ταναϊς διὰ μέσσον ὁρίζει,
Ὅς ῥά τ' ἑλισσόμενος γαίης διὰ σαυροματάων
Σύρεται ἔν σκυθίην τε καὶ ἐν μαιῶτιδα λίμνην,

Πρὸς

DIONYSII HABITA BILIS DESCRIPTIO.

INcipiens terramq́; & uaſtum dicere pontum,
Et fluuios, urbesq́;, & hominum diffuſas nationes,
Memor ero Oceani altiflui. In illo enim
Tota terra uelut inſula intermina cincta eſt.
Non quidem tota continuò orbiuia, uerũ utrinq;
Acutior uergens contra ſols orbitam, (tem,
Fundæ aſsimilata. Vnã aũt ipſam alioqui exiſten
Mortales tres in continentes partiti ſunt:
Primam quidem Libyam, pòſt uerò Europam, Aſiamq́;.
Sed enim Libya quidẽ ab Europa habet limitem,
Obliquum per lineas, Gadesq́;, & oſtium Nili:
Vbi maximè ſeptẽtrionalis eſt receſſus Aegypti,
Atq; delubrum famoſiſsimum Amyclæi Canopi.
Europam uerò ab Aſia Tanais per medium terminat,
(Qui quidem uolutus terram per Sauromatum,
Labitur in Scythiamq; & Mæotida paludem)

Πρὸς βορέην· νότιον δὲ μεσήμβριον ἐλλήσσοντος.
Σῆμα δ' ὑπερτέταται νοτιώτατον ἐν στόμα νείλου.
Ἄλλοι δ' ἠπείροισι διὰ χθόνα νοσφίζουσιν.
Ἰσθμὸς ἄνω τέταταί τις ὑπέρτατος ἀσίδος αἴης,
Κασπίης τε μεσηγὺ καὶ εὐξείνοιο θαλάσσης,
Κεῖνον δ' εὐρώπης ἀσίης θ' ὅρον ηὐδάξαντο.
Ἄλλος δ' αὖ μακρὸς καὶ ἀθέσφατος ἐς νότον ἕρπει,
Ἀῤῥαβικοῦ κόλποιο καὶ αἰγύπτοιο μεσηγὺ,
Ὅς ῥά τε νοσφίζει λιβύην ἀσιήτιδος αἴης.
Τοῖα μὲν ἀμφ' οὔροισι βροτοὶ διεφημίξαντο.
Πάντῃ δ' ἀκαμάτου φέρεται ῥόος ὠκεανοῖο,
Εἷς μὲν ἐὼν, πολλῇσι δ' ἐπωνυμίῃσιν ἀρηρώς.
Ἤτοι ὁ μὲν λήγοντι παρ' ἐσχατιὴν ζεφύροιο,
Ἄτλας ἑσπέριος κικλήσκεται. αὐτὰρ ὕπερθεν
Πρὸς βορέην, ἵνα παῖδες ἀρειμανέων ἀριμασπῶν,
Πόντον μιν καλέουσι πεπηγότα τε κρόνιόν τε,
Ἄλλοι δ' αὖ καὶ νεκρὸν ἐφήμισαν, οὕνεκ' ἀφαυροῦ
Ἠελίου· βράδιον γὰρ ὑπεὶρ ἅλα τὴν δὲ φαείνει,
Αἰεὶ δὲ σκιερῇσι παχύνεται ἐν νεφέλῃσιν.

Αὐτὰρ

Ad Boream: auſtrale autem medilimitium Helleſpontus eſt:
Limes itē protētus eſt auſtraliſſim⁹ in oſtiū Nili.
At alij continentibus terram diuidunt.
Iſthmus ſurſum porrectus eſt quidam ſupremus Aſiaticæ terræ,
Caſpiumq́; inter & Euxinum mare,
Hunc certè Europæ Aſiæq́; limitem dixerunt.
Alius itē longus atq; immenſus ad Auſtrū ſerpit,
Arabicum ſinum & Aegyptum inter,
Qui quidem ſecernit Libyam ab Aſiatica terra.
Hunc ſanè in modum ſuper limitibus mortales diſſeruerunt. (Oceani,
Cæterum undiquaquam indefeſſi fertur fluxus
Vnus quidem exiſtens, multis uerò cognomentis adornatus.
Nempe qui eſt candidi ad oram Zephyri,
Atlāticus Veſperus nūcupatur. Verùm deſuper
Ad Boreā, ubi pubes marte furētiū Arimaſporū,
Pontū ipſum uocāt Cōgelatumq́;, Saturniumq́;:
Sed et alij quoq; Mortuū dixerūt, propter debilē
Solem: tardius enim ſuper mare hoc radiat:
Semper aūt tenebricoſis craſſatur ſub nubibus.

At ubi

Αὐτὰρ ὅθι πρώτιστα φαείνεται ἀνθρώποισιν,
Ἠῷόν καλέουσι καὶ ἰνδικὸν οἶδμα θαλάσσης.
Ἄγχι δ' ἐρυθραῖόν τε καὶ αἰθιόπιον καλέουσι,
Πρὸς νότον. ἔνθα δὲ πολλὸς ἀοικήτου χθονὸς αὐλῶν
Ἐκτέταται, μαλεροῖσι κεκαυμένος ἠελίοισιν.
Οὕτως ὠκεανὸς περιδέδρομε γαῖαν ἅπασαν,
Τοῖος ἐὼν, καὶ τοῖα μετ' ἀνδράσιν οὐνόματ' ἕλκων.
Κόλπους δ' ἔνθα καὶ ἔνθ' ἀπορρήγνυται, ἔνθι βάλλων
Εἰς ἅλα, τυτθοὺς μὲν πλέονας, πίσυρας δὲ μεγίστους.
Ἤτοι μὲν πρώτιστον, ὃς ἑσπέριον ἅλα τίκτει,
Συρόμενος λιβύηθεν ἔσω παμφυλίδος αἴης.
Δεύτερος αὖτ' ὀλίγος μὲν, ἀτὰρ προφορέστατος ἄλλων,
Ὅς τ' ἀνακιδνάμενος κρονίης ἁλὸς ἐκ Βορέαο
Κασπίῃ αἰπὺ ῥέεθρον ὑποπροΐησι θαλάσσῃ,
Ἥν τε καὶ ὑρκανίην ἕτεροι διεφημίξαντο.
Τῶν δ' ἄλλων, οἵτ' εἰσὶν ἀπαὶ νοτίης ἁλὸς ἄμφω,
Εἷς μὲν ἀνώτερός ἐστι τὸ περσικὸν οἶδμα περιχεύων,
Ἀντία κασπίης τετραμμένος ἀμφιτρίτης.

Ἄλλος

At ubi primùm radiat hominibus,
Eoum uocant atq; Indicum fretum maris.
Propè autem Rubrumq́; ac Aethiopiũ appellant
Ad Auſtrum: ubi certè multa inhabitatæ terræ planicies
Extenta eſt, feruidis uſta ſolibus.
Sic Oceanus circumfluit terram uniuerſam,
Tantus exiſtens, & talia inter homines nomina trahens.
Sinus autem hinc inde euomit, intro mittens
Ad mare, paruos quidem plures, quatuor uerò maximos.
Scilicet primum, qui Veſperum mare gignit,
Tractus è Libya intra Pamphylicam terram.
Secundus item modicus quidem, ſed potiſsimus aliorum,
Qui effuſus Cronio mari è Borea
Caſpio profundum fluentum intromittit mari:
Quod etiam Hyrcanium quidam nuncuparunt.
At aliorum (qui ſunt ab auſtrali mari ambo)
Vnus quidem ſuperior eſt, Perſicum æſtum profundens,
È regione Caſpij directus maris:

Alter

Αλλος δ' ἀῤῥάβιος κυμαίνεται ἐγγύθι κόλπος,
Εὐξίνου πόντου νοτιώτερον ὁλκὸν ἑλίσσων.
Τόσσοι μὲν κόλποι βαθυκύμονος ὠκεανοῖο,
Οἱ μείζους. ἄλλοι δέ τ' ἀπειρέσιοι γεγάασι. (πάσας
Νῦν δ' ἁλὸς ἑσπερίης ἐρέω πόρον, ἥ τ' ἰθὺ πά-
Ηπείρους λοξοῖσιν ἐπιστρέφεται πελάγεσσιν,
Αλλοτε μὲν νήσοισι περίδρομος, ἄλλοτε δ' αὖτε
Ηπείρων ἢ πέζαν ὑποξύουσα πολήων.
Υμεῖς δ' ὦ μοῦσαι σκολιὰς γνώποιτε κελεύθους,
Αρξάμεναι στοιχηδὸν ἀφ' ἑσπερίου ὠκεανοῖο.
Ενθά τε καὶ στῆλαι περὶ τέρμασιν ἡρακλῆος
Εστᾶσιν, μέγα θαῦμα, παρ' ἐσχατόωντα γάδειρα,
Μακρὸν ὑπὸ πρηῶνα πολυσπερέων ἀτλάντων.
Ηχί τε καὶ χάλκειος ἐς οὐρανὸν ἔδραμε κίων,
Ηλίβατος, πυκινοῖσι καλυπτόμενος νεφέεσσι.
Πόντος μὲν πρώτιστος ἰβηρικὸς ἀρχομένοισιν
Εγκέχυται, ὅς πέρ τε καὶ εὐρώπης πέλει ἀρχή,
Καὶ λιβύης, μέσσος δὲ ἑλίσσεται ἀμφοτέρῃσιν.
Στῆλαι δ' ἔνθα καὶ ἔνθα παρὰ πλευρῇσι κέονται,
Η μὲν ἐπ' εὐρώπην, ἡ δ' ἐς λιβύην ὁρόωσα.
Τὸν δὲ μετεκδέχεται γαλάτης ῥόος. ἔνθά τε γαῖα

Μασσαλίη

Alter uerò Arabicus fluctuat iuxtà ſinus,
Euxino ponto auſtraliorem ductum uolutans.
Tot quidem ſinus procelloſi Oceani
Maiores. Verùm alij innumeri exiſtunt.
Nunc autem maris Veſperi refero meatũ, quod ad omnes
Continentes tortuoſis obuertitur pelagis,
Aliàs quidem inſulis circunfluũ, aliàs uerò item
Aut montium aut oram ſubradens urbium.
Vos uerò ô Muſæ difficiles referte meatus,
Auſpicatæ ordinatim à ueſpero Oceano:
Vbi etiamnum columnæ in finibus Herculis
Stant (mirabile uiſu) ad extremas Gades,
Alto ſub cacumine diſperſorum Atlantum.
Vbi quoq; æneus in cœlum procurrit poſtis,
Excelſus, denſis tectus nubibus.
Pontus quidem primus Ibericus intrantibus
Immiſſus eſt, qui quidem & Europæ eſt initium,
Et Libyæ: nam medius uoluitur ambarum.
Columnæ autem utrinq; ad latera ſtant,
Hæc quidem ad Europam, illa uerò ad Libyam ſpectans.
Hunc autem excipit Galliæ fluxus: ibiq; terra

Maſſalia

Μασσαλίη τετάνυσται, ἐπίστροφον ὅρμον ἔχουσα.
Ἐξείης δ' ἐπὶ τοῖσι λιγυστιὰς ἕλκεται ἅλμη.
Ἔνθ' ἰταλῶν υἷες ἐπ' ἠπείροιο νέμονται,
Ἐκ διὸς αὐσονίηθεν. ἀεὶ μέγα κοιρανέοντες,
Ἀρξάμενοι βορέηθεν ἔσω λευκὴν ἐπὶ πέτρην,
Ἣ ῥά τε σικελίης ἐπὶ πορθμίδος ἐῤῥίζωται.
Ἐξείης δ' ἐπὶ κύρνον ἐρεύγεται ἁλμυρὸν ὕδωρ
Τῇ δ' ἐπὶ σαρδόνιος μορμύρεται ἐγγύθι πόντος.
Τὸν δὲ μετεκδέχεται τυρσηνίδος οἶδμα θα-
λάσσης
Πρὸς νότον. αὐτὰρ ἔπειτα πρὸς αὐγὰς ἠελίοιο
Κυρτὸς ἐπιστρέφεται σικελὸς ῥόος. αὐτὰρ ἔνερ-
θεν
Ἐγκέχυται καὶ μέχρι πολυκλύστοιο παχύνου,
Καὶ κρήτης ἄκρης. ἥτ' εἰς ἅλα πουλὺ νένευκε
Πὰρ θ' ἱερὴν γόρτυναν, καὶ ἠπειρώτιδα φαιστόν,
Προπρηνὴς κριοῖο προσαυγάζουσα κάρηνον,
Τοὔνεκά μιν καὶ κριοῦ ἐφημίξαντο μέτωπον.
Ναὶ μὴν καὶ τετάνυσται ἰηπυγίην ἐπὶ γαῖαν.
Κεῖθεν δ' εὐρυνθεῖσα τιταίνεται ἀδριὰς ἅλμη
Πρὸς βορέην, αὖθις δὲ πρὸς ἑσπέριον μυχὸν ἕρ-
πει.
Ἣν τε καὶ ἰονίην περιναιέται ἠνδάξαντο.

Διοστὰς

Maſſalia protenta eſt, obuerſum portum habẽs.
At ſequenter prope illos Liguſticũ fluctuat ſalũ:
Vbi Italorum pubes ſuper continente degunt,
È Ioue Auſonij, ſemper ſtrenuè dominantes,
Orſi à ſeptentrione uſq; albam ad petram,
Quæ quidem Siciliæ ad traiectulum fulta eſt.
Inde uerò ad Corſicam eruitur ſalſus humor:
Apud quam item Sardonius murmurat propè pontus.
Hunc autem ſuſcipit Thuſci unda maris
Ad auſtrum. At deinceps ad ortum ſolis
Tortus obuertitur Siculus fluxus: nẽpe infernè
Infuſus eſt etiam uſq; ad multiſonũ Pachynum,
Atq; Cretæ promontorium (quod in mare ualde nutat
Adq; ſacrã Gortynã, & interraneã Phæſtum.
Pronum, arietis aſsimilans caput:
Eoq; ipſum Arietis uulgo dixerunt frontem)
Quin etiam diſtractus eſt Iapygiam ad terram.
Inde uerò dilatatum protenditur Adrium ſalum
Ad Boream, ſed mox ad occidentalem oram ſerpit:
Quod etiam Ionium accolæ dixerunt.

Διοσαὶς δ' ἠπείροις ἀποτέμνεται, ἐς μὲν ἰόντι,
Δεξιτερὴν κατὰ χεῖρα φαείνεται ἰλλυρὶς αἶα,
Δαλματίη δ' ἐφύπερθεν ἐνυαλίων πέδον ἀνδρῶν,
Σκαιῇ δ' αὐσονίων παραπέπταται ἄσπετος ἰσθμός,
Γλυτενὴς, τρισσῇσι περίδρομος ἀμφιτρίταις.
Τυρσηνῇ, σικελῇ τε, καὶ ἀδριάδι πληθούσῃ.
Η μία δ' εἰς ἄνεμον τεκμαίρεται οἰκίον ἑκάστη,
Τυρσηνὴ ζέφυρον, σικελὴ νότον, ἀδριὰς εὖρον.
Αὐτὰρ ὑπὲρ σικελῆς χθονὸς ἕλκεται οἶδμα κορύσσων
Πόντος ἔσω λιβύης, νοτίην περὶ σύρτιν ἑλίσσων,
Τὴν ἑτέρην, ἣν πρόσθε τε καὶ εὐρυτέρην ἐνέπουσιν.
Αλλη δ', ἥτις ἀφαυρὸν ἔχει πόρον ἔνδον ἐοῦσα,
Τηλόθεν ἐρχομένην δέχεται πλημμυρίδα πόντου.
Ως οἱ μὲν βοόωσιν ἑλισσόμενοι δύο κόλποι.
Εκ δ' ὀρέων σικελῶν κρήτης ἀναπέπταται οἶδμα
Μακρὸν ἐπ' ἀντολίην, σαλμωνίδος ἄχρι καρήνου,
Ην κρήτης ἐνέπουσιν ἑώϊον ἔμμεναι ἄκρην.
Δοιαὶ δ' ἑξείης προτέρω φρίσσουσι θάλασσαι,
Ισμαρικοῦ πνοιῇσιν ἐλαυνόμεναι βορέαο,

Ορθὸν

Duas aũt continentes proructat: intrãti quidem
Dexteram ad manum cernitur Illyris *terra,*
Dalmatia item deſuper, martiorum ſolum homi
num: *(mus,*
Læuæ uerò Auſoniorum *aduolat immẽſus* Iſth*
Longè productus, tribus circumfluus maribus,
Thuſco, Siculo, *atq;* Adrio *aduentantẽ:*
Vnumquodq; autem in uentum dirigit tractum,
Tyrrhenum *in* Zephyrum, Siculum Notum,
Adrium Eurum.
Porrò *ſuper* Sicula *terra uoluitur fretũ cõcitans*
Pontus *intra* Libyam, *auſtrinam* Syrtin *circum*
uoluens
Alteram, *quam quidem & latiorem dicunt.*
Alia *uerò, quæ modicum habet uadum intus ex*
iſtens,
Eminus uenientem ſuſcipit inundationẽ ponti.
Mirum quantum reboent rotati hi duo ſinus.
È montibus aũt Siculis Cretæ *prouolat fretum*
Longè ad orientem, Salmonium *aduſq; caput,*
Quod Cretæ *ferũt orientale eſſe promontoriũ.*
At deinceps duo ulterius intumeſcunt maria,
Iſmarici flabris pulſata Boreæ

Ὀρθὸν φυσιόωντος. ἐπεὶ κατεναντία κεῖνται,
Ναῦται δὲ πρώτην φαρίην ἅλα κικλήσκουσιν,
Ὕστατον ἐς πρηῶνα τιταινομένην κασίοιο.
Σιδονίην δ᾽ ἑτέρην. ὅθι τείνεται ἐς μυχὰ γαίης
Ἰσσοῦ ἄχρι πόληος κιλίκων χώραν παραμείβων
Ἰσσικὸς ἑλκόμενος βορέην ἔπι κόλπος ἀπείρων.
Οὐ μὴν πολλὸν ἄνευθεν ἰσόδρομος. ἄγχι δὲ ἤδη
Ὑπολήγει δνοφερῆ κιλίκων ἀναπαύεται αἴης.
Τῆμος δ᾽ ἤδη ζέφυρον στρεπτὴν ἀπορσύγεται ἅλμην.
Ὡς δὲ δράκων βλοσυρωπὸς ἑλίσσεται ἀγκύλος ἕρπων
Νωθής, τῷ δ᾽ ὑπὸ πᾶσα βαρύνεται οὔρεος ἄκρη
Ἐρχομένῳ, τὼς κεῖνος ἑλίσσεται εἰν ἁλὶ κόλπος
Νήχυτος, ἔνθα καὶ ἔνθα βαρυνόμενος προχοῇσι.
Τοῦ μὲν ἤδη προβολῆ παμφύλιοι ἀμφινέμονται,
Ὅσσον ἤδη προβέβηκε χελιδονίων μυχὰ νήσων.
Σῆμα δ᾽ ἔχει ζεφύρου πατταρηΐδα τηλόθεν ἄκρην.
Φράζεο δ᾽ ἐκείνου τετραμμένος αὖθις ἐπ᾽ ἄρκτους
Αἰγαίου πόντοιο πλατὺν ῥόον. ἔνθα τε κῦμα
Ῥησσόμενον νήσοισι περιβρέμεται σποράδεσσιν.

Οὐ

Rectà ſpirãtis: quandoquidem è regione iacent.
Nautæ autem primum Pharium *mare appellant.*
Vltimum ad iugum propanſum Caſij:
Sidonium uerò alterum (ubi porrigitur in ſeceſ-
ſum terræ
Iſſum aduſq; urbẽ, Cilicum *regionẽ præteriens,*
Iſsicus tractus Boream *uerſus ſinus immenſus)*
Non quidem multũ ſeparatim æquigradum eſt:
propè nanq; iam
Acie obſcura Cilicum *ceſſat regione.*
Tum uerò ad Zephyrũ reflexũ effundit ſalum.
Vt autem draco horrẽdus uiſu uolutatur immen
ſus repens *(mitas*
Lentus, ſub quo quidẽ tota fatigatur montis ſum
Veniente: ſic ille uolutatur in mari ſinus
Diffuſus, hinc inde grauatus profluuijs.
Cuius quidem in procurſu Pamphylij *accolunt,*
Quantum procedit Chelidoniarũ *ad ſeceſſum*
inſularum. *(nus promontorium.*
Terminum autem habet Zephyri Pataricũ *emi-*
Contẽplare uerò illic cõuerſus rurſus ad arctos
Aegæi ponti uaſtum fluxum: ubi etiam unda
Sciſſa inſulis circunſonat Sporadibus:

Οὐ γάρ τις κείνῳ ἐναλίγκια κύματ' ὀφέλλει,
Ὑψόθι μορμύρων ἕτερος πόρος Ἀμφιτρίτης.
Οὖρον δ' ἐς τηνέδην τεκμαίρεται ἐσχατόωσαν,
Ἴμβρον ἔχων ἑτέρωθεν. ὅθεν στενὸς ἔρχεται αὐλὼν
Συρόμενος Βορέην δὲ παρὰ Ποντίδος ἔνδοθι
πάσης.
Τῆς δ' ὑπὲρ ἄσπεται φῦλα τιταίνεται Ἀσί-
δος αἴης
Πρὸς νότον. ἠπείρου δ' ἐπιπλατὺς ἔρχεται ἰσθμός.
Τῇ δ' ἔπι Θρηϊκίου στόμα Βοσπόρου. ὃν πάρος Ἰὼ
Ἥρης ἐννεσίῃσιν ἐνήξατο πόρτις ἐοῦσα.
Στεινότατος δὴ κεῖνος ἁπάντων ἔπλετο πορ-
θμὸς
Τῶν ἄλλων, οἵ τ' εἰσὶ πολυκλύστοιο θαλάσσης.
Κυανέας ὅθι μῦθος ἀναιδέας εἰν ἁλὶ πέτρας
Πλαζομένας καναχηδὸν ἐπ' ἀλλήλῃσι φορεῖσθαι.
Ἐκ δὲ τοῦ οἰγόμενος παραπέπταται ἐγγύθι πόν-
τος,
Πολλὸς ἐὼν, καὶ πολλὸν ἐπ' ἀντολίης μυχὸν ἕρ-
πων.
Τοῦ δ' ἤτοι λοξαὶ μὲν ὑπερτροχάουσι κέλευθοι.
Αἰεὶ πρὸς Βορέην τε καὶ ἀντολίην ὁρόωσαι.
Μέσσαι δ' ἔνθα καὶ ἔνθα δύο ἀνέχουσι κολῶναι.

Ἡ μὲν,

Neq; enim aliquod huic ſimiles fluctus concitat
Profundè murmurans aliud uadum maris.
Limitem autem in Tenedum ſignat extremam,
Imbrum habens ex altero latere: unde ſtricta exit fiſtula
Tracta Boream uerſus Propontidẽ intra totam.
Hinc autem ſupra innumeræ gentes panduntur Aſiaticæ terræ
Ad Auſtrum: continentis enim præpatens obuiat Iſthmus.
Hinc item poſt Thracij oſtium Boſpori: quem olim Ino
Iunonis imperijs natauit iuuenca exiſtens.
Anguſtiſſimum ſanè illud omnium eſt fretum
Aliorum, quæ ſunt procelloſi maris:
Cyaneas ubi fama eſt impudentes in mari petras
Vagantes crepitanter ad ſe mutuò ferri.
Ex hoc autem emiſſus fluitat iuxtà pontus
Multus exiſtẽs, ac multum ad orientis ſeceſſum ſerpens.
Huius item obliqui quidem procurrunt meatus,
Continuò ad boream & orientem ſpectantes.
Media uerò utrinq; duo ſurgunt promontoria,

Η μὲν ὑπὸ νοτίη, τήν τε καλέουσι κάραμβιν.
Η δὲ βορειοτέρη, γαίης ὑπὲρ εὐρωπείης,
Τήν ῥα περικτιόνες κριοῦ καλέουσι μέτωπον.
Αἵτ' ἄμφω ξυνίασιν ἐναντίαι, οὐ μὲν ἐοῦσαι
Εγγύθεν, ἀλλ' ὅσον ὁλκὰς ὁδοῦ τρίτον ἦμαρ ἀνύται.
Εκ τοῦ δ' ἂν καὶ πόντον ἴδοις διθάλασσον ἐόντα,
Τόρνῳ ἐειδόμενον περιηγέος ἄμματι τόξου.
Αλλ' εἴη νευρᾶς σημήϊα δεξιὰ πόντου,
Ιθὺ διαγραφθέντα. μέσῃ δ' οἴη κάραμβις
Γραμμῆς ἐκτὸς ἐοῦσα. καὶ ἐς Βορέην ὁρόωσα.
Σῆμα δ' ἔχει κεράων σκαιὸς πόρος, ὅς τ' ἐπὶ δισσὸν
Εἵλεται στροφάλιγγα, βιοῦ κεράεσσιν ἐοικώς.
Τοῦ καὶ πρὸς Βορέην μαιώτιδος ὕδατα λίμνης
Εγκέχυται, τῇ μέν τε πέριξ σκύθαι ἀμφινέμονται,
Ανδρες ἀπειρέσιοι. καλέουσι δὲ μητέρα πόντου.
Εκ τῆς γὰρ πόντοιο μυρίον ἕλκεται ὕδωρ
Ορθὸν ἀμειβομένης διὰ Βοσπόρου. ᾧ παρὰ πολλοὶ
Κιμμέριοι ναίουσιν ὑπὸ ψυχρῷ ποδὶ ταύρου.
Τοίη μὲν μορφὴ κυαναυγέος ἀμφιτρίτης.

Νῦν

Hoc quidem ſuperauſtrinum, quodq́ue uocant Carambin,
Illud uerò ſeptentrionalius terra ſuper Europea,
Quod quidem uicini arietis perhibent frontem:
Quæ etiam ambo coëunt oppoſita, non quidem exiſtentia
Vicinè, ſed quantũ nauis ad tertiũ diem conficit.
Ex hoc uerò & pontum contemplabere bimarem exiſtentem,
Torto ſimilem circunducti funi arcus.
Porrò ſunto nerui ſignificatiuæ dexteræ ponti
Rectè deliniatæ: atqui media eſt Carambis,
Extra lineam exiſtens, & in boream ſpectans.
Figuram autem habet cornuum ſiniſtrũ uadum, quod ad duplicem
Flectitur curuaturã, arcus cornibus aſsimilatũ.
Ab hoc item ad boream Mæotidis undæ paludis
Immiſſæ ſunt: quã quidẽ circũ Scythæ accolũt,
Viri innumeri: uocant autem matrem ponti:
Ex hac quandoquidẽ ponti ingens labitur unda,
Rectè Cimmeriũ per Boſporon: quẽ prope multi
Cimmerij degunt ſubter gelido pede Tauri.
Talis quidem forma eſt cærulei maris.

Νῦν δέ τοι ἠπείρου μυθήσομαι εἶδος ἁπάσης,
Ὄφρα καὶ οὐκ ἐσιδὼν πρὸ ἔχοις εὔφραστον ὀπωπήν.
Ἐκ τοῦ δ' ἂν γεραρός τε καὶ αἰδοιέστερος εἴης,
Ἀνδρὶ παρ' ἀγνώσσοντι πιφασκόμενος τὰ ἕκαστα.
Ἤτοι μὲν λιβύη τετανυσμένη ἐς νότον ἕρπει,
Ἐς νότον, ἀντολίην τε, τραπεζίῳ εἶδος ὁμοίη,
Ἀρξαμένη πρώτιστα γαδειρόθεν, ἧχί περ ἄκρη
Εἰς μυχὸν ὀξυνθεῖσα τιταίνεται ὠκεανοῖο.
Οὖρον δ' ἀῤῥαβίης τεκμαίρεται ἄχρι θαλάσσης
Εὐρύτερον. τόθι γαῖα κελαινῶν αἰθιοπήων,
Τῶν ἑτέρων. τῇ ἄγχι τιταίνεται οὖδας ἐρεμβῶν.
Παρδαλέῃ δέ μιν ἄνδρες ἐπιπλείουσιν ὁμοίην.
Ἡ γὰρ διψηρή τε καὶ αὐχμήεσσα τέτυκται,
Τῇ καὶ τῇ κυανέῃσι κατέστικτος φολίδεσσιν.
Ἀλλ' ἤτοι πυμάτην μὲν ὑπὲρ γλωχῖνα νέμονται
Ἀγχοῦ στηλάων μαυρούσιοι ἔθνεα γαίης.
Τοῖσιν ἔπι νομάδων περιπέπτανται ἄσπετα φῦλα.
Ἔνθα μασαισύλιοί τε καὶ ἀγρονόμοι μασυλῆες
Βόσκοντ' σὺν παισὶν ἀν' ἠπειρόντε καὶ ὕλην,
Μαιόμενοι βιότοιο κακὴν καὶ ἀεικέα θήρην.

Nunc autem tibi continentis referam faciem uniuerſæ,
Quò, etſi non intuitus, habeas doctè narrandi imaginem:
Ex hoc enim honorabilis reuerentiorq; eſſe poteris,
Homine coram imperito ediſſerens ſingula.
Porrò Libya extenta ad auſtrum ſerpit,
Ad auſtrũ orientemq;, trapezio forma ſimilis:
Orſa primùm à Gadibus: ubi quidem extrema
In ſeceſſum cuneata porrigitur Oceani.
Limitem uerò Arabicum ſignat uſq; ad mare
Patentiorem: ubi terra nigrorum Aethiopum
Alterorum: quos iuxta propãditur ſolum Eremborum.
Pelli pardinæ autem ipſam homines perhibent ſimilem.
Quandoquidem aridaq; & ſicca exiſtit,
Hincinde nigris diſpuncta ſquamis.
Sed enim extremum quidem ſub angulũ degunt
Prope columnas Mauritanæ gentes terræ.
Quas iuxta Nomadũ adiacẽt plurimæ familiæ:
Vbi Maſæſyliiq;, & ſub dio degẽtes Maſylenſes
Paſcuntur cum liberis per terram & ſyluam,
Quæritantes alimenti durã & ſæuam prædam:

Οὐ γὰρ γειομόροιο τομὴν ἐδάησαν ἀρότρου,
Κείνοις δ' οὔποτε τερπνὸς ἀκούεται ὁλκὸς ἁμάξης,
Οὐδὲ βοῶν μυκηθμὸς ἐς αὔλιον ἐρχομενάων.
Ἀλλ' αὔτως ἅτε θῆρες ἀνὰ δρυὰ βουκολέονται,
Νήϊδες ἀσταχύων καὶ ἀπευθέες ἀμήτοιο.
Τοῖς δ' ἔπι Καρχηδὼν πολυήρατον ἀμπέχει ὅρμον,
Καρχηδὼν, Λιβύων μὲν, ἀτὰρ πρότερον Φοινίκων.
Καρχηδὼν, ἣν μῦθος ὑπαὶ βοῒ μετρηθῆναι.
Ἑξείης δ' ἤδη σύρτις ἀγαρρόον ὁλκὸν ἑλίσσει
Βαιοτέρη. μετὰ τὴν δὲ πρὸς αὐγὰς ἔρχεται ἄλλη
Ἄσπετος, εὐρυτέρῃσι βαρυνομένη προχοῇσι.
Ἔνθα κορυσσομένης τυρσηνίδος ἀμφιτρίτης
Ἄλλοτε μὲν πλημμυρὶς ἐγείρεται, ἄλλοτε δ' αὖτε
Ἄμφωτις ξηρῇσιν ἐπιτροχάει ψαμάθοισι.
Τάων δ' ἀμφοτέρων μεσάτη πόλις ἐστήρικται.
Ἣν ῥά τε κικλήσκουσι νέην πόλιν. ἣ ὑπὲρ αἶαν
Λωτοφάγοι ναίουσι φιλόξεινοι γεγαῶτες.
Ἔνθά ποτ' αἰολόμητις ἀλώμενος ἤλυθεν ὀδυσσεύς.
Κείνου δ' αὖ περὶ χῶρον ἐρημωθέντα μέλαθρα

Ἀνδρῶν

Non enim ſolifidi ſulcationem nouerunt aratri:
Illis itē nec unq̃ incūda auditur rotatio plauſtri,
Neq; boum mugitus ad ſtabulum redeuntium:
Sed paßim more ferarū per ſyluam ſtabulantur,
Inſcij ſpicarum, & ignari meßis.
Hos itē iuxta Carthago exoptatū includit portū,
Carthago, Aphrorū quidem, uerùm prius Phœnicum:
Carthago, quam fama eſt ſub tergore bouino fu(iſſe metatam.
Deinceps autem non longè Syrtis citifluum uorticem circumuoluit
Minor. Poſt hanc ad orientem ſe offert alia
Immenſa, amplioribus prægnans profluuijs:
Vbi intumeſcentis Thuſci maris
Interdum quidem inundatio attollitur, interdum uerò rurſus
Vtrinq; aliquis ſiccis currit ſuper harenis.
Harum autem ambarū media ciuitas fundata eſt,
Quam quidē appellant nouā ciuitatē: Vbi ſuper terram
Lotophagi habitant hoſpitales exiſtentes:
Quò olim uerſutus errans uenit Vlyſſes.
Illum autem circa locum deſerta tuguria

Hominum

Ἀνδρῶν ἀθρήσειας ἀποφθιμένων Νασαμώνων.
Οὓς Διὸς οὐκ ἀλέγοντας ἀπώλεσεν αὐσονὶς αἰχμή.
Ἀσβύσται δ' ἐπὶ τοῖσι μεσήπειροι τελέθουσι.
Καὶ τέμενος λιβυκοῖο θεοῦ ψαμάθοις ὑπὸ πολλῇς
Κυρήνη τ' εὔιππος ἀμυκλαίων γένος ἀνδρῶν.
Ἄγχι δὲ μαρμαρίδαι πεδον ἐγνωκότες αἰγύπτοιο.
Γαιτοῦλοί τ' ἐφύπερθε, καὶ ἀγχίγειοι νίγρητες.
Ἑξείης δ' ἐπὶ τοῖς φαυρούσιοι. ὧν ὑπὲρ αἰὲν
Ναίουσιν γαράμαντες ἀπείριτοι. ἐν δὲ μυχοῖσι
Βόσκοντ' ἠπείροιο πανύστατοι αἰθιοπῆες,
Αὐτοὶ ἐπ' ὠκεανῷ πυμάτης παρὰ τέρμασι λιβύης. (λῶναι.
Τῆς πάρος αἰθαλέων βλεμύων ἀνέχουσι κο-
Ἔνθεν πιοτάτου κατέρχεται ὕδατα νείλου.
Ὃς δή τοι λιβύηθεν ἐπ' ἀσίην πολὺς ἕρπων,
Σίρις ὑπ' αἰθιόπων κικλήσκεται. οἱ δὲ συήνης
Ἐνναέται στρεφθέντα μετ' οὔνομα νεῖλον ἔθεντο.
Κεῖθεν δ' ἐς βορέην, τετανυσμένος ἄλλυδις ἄλλη,
Ἑπτὰ διὰ στομάτων εἰλιγμένος εἰς ἅλα πίπτει,
Ὕδασι πιαίνων λιπαρὸν πέδον αἰγύπτοιο.
Οὐ γάρ τις ποταμῶν ἐναλίγκιος ἔπλετο νείλῳ,

Οὔτ'

Hominum uidiſſes abolitorum Naſamonum,
Quos Iouis reſiſtendi imbelles deleuit Auſoniæ
uirtus.
Asbyſtæ autem iuxta hos mediterranei exiſtũt:
Atq; delubrum Libyci dei harena ſub multa:
Cyreneq; equiſera, Amyclæorũ genus hominũ.
Iuxta autem Marmaridæ nutãtes ad Aegyptum.
Gætuli item deſuper, & uicini Nigretes.
Pòſt uerò iuxta hos Phauruſij: quorũ ſuper ter-
ram
Degunt Garamantes innumeri. At in ſeceßibus
Viuunt terræ omnium extremi Aethiopes,
Ipſum ad oceanũ, ultimæ prope nemora Cernæ.
Quam ante peruſtorum Blemyorum ſurgunt
montana:
Vnde fœcundißimi deſcendunt aquæ Nili:
Qui quidem è Libya ad orientẽ multus ſerpens,
Siris ab Aethiopibus nuncupatur: at Syenes
Indigenæ uerſum mutarunt nomine Nilum.
Hinc uerò in Boreã extentus aliàs aliorſum,
Septem per fauces diſtractus in æquora rumpit,
Aquis fœcundans pingue ſolum Aegypti:
Non etenim quiſquam fluuiorum par fuit Nilo

Vel

Οὔτ' ἴλην βαλέειν, οὔτε χθονὸς ὄλβον ἀέξειν.
Ὅς ῥά τε καὶ λιβύην ἀποτέμνεται ἀσίδος αἴης,
Ἐς λίβα μὲν λιβύην, ἐς δ' αὐγὰς ἀσίδα γαῖαν.
Τῷ παραναιετάουσιν ἀριπρεπέων γένος ἀνδρῶν.
Οἳ πρῶτοι βιότοιο διεστήσαντο κελεύθους.
Πρῶτοι δ' ἱμερόεντος ἐπειρήσαντο ἀρότρου,
Καὶ σπόρον ἰθυτάτης ὑπὲρ αὔλακος ἁπλώσαντο.
Πρῶτοι δὲ γραμμῇσι πόλον διεμετρήσαντο,
Θυμῷ φρασσάμενοι λοξὸν δρόμον ἠελίοιο.
Τῶν δέ κεν αὐδήσαιμι καὶ αὐτοῦ πείρατα γαίης,
Καὶ μορφήν. οὐ μὲν γὰρ ὀλίζονος ἔμμορε τιμῆς.
Οὐ δὲ μὲν οὐδ' ὀλίγη μέγεθος πέλει, ἀλλά τις ἄλλων (ρουσα.
Εὔβοτος, εὐλείμων τε, καὶ ἀγλαὰ πάντα φέ
Σχῆμα μὲν ὖν τριοστῆσιν ἰδὲ πλευρῇσι βέβηκεν,
Εὐρὺ μὲν ἀμφ' ἀκτὰς Βορεήτιδας, ὀξὺ δ' ἐπ' ἠοῦς
Ἑλκόμενον καὶ μέχρι βαθυκρήμνοιο συήνης,
Οὔρεσιν ἀμφοτέροισιν περισκεπέεσσιν ἐρυμνόν.
Τῶν μέσα καλλιρόοιο κατέρχεται ὕδατα νείλου.

Καὶ

Vel limum proijciendo, uel ſoli ubertatem augmentando.
Qui certè & Libyam dirimit Aſiaticá ab ora
In Lybem quidem Libyam, at in ortũ Aſiaticam terram.
Hunc accolunt præclarorum genus hominum:
Qui primi uitæ diſpoſuerunt uias,
Primi item deſiderati periculum fecerũt aratri,
Atq; ſementem rectiſsimo ſuper ſulco ſparſerũt:
Primi inquam lineis cœlum dimenſi ſunt,
Animo contemplati obliquum curſum ſolis.
Horum itaq; canere lubet & ipſius oras terræ,
Et formam: ſiquidem non minimum nacta eſt honorem:
Neq; etiam uel modica magnitudine exiſtit: uerùm quædam præ alijs
Bonipaſtina, graminoſáq;, & læta omnia ferens.
Porrò ſchema tria ad latera tendit,
Latum quidem circa littora ſeptentrionalia, arctum uerò ad auroram,
Tractum etiam uſq; ad montoſam Syenen,
Montibus duobus circummuniticijs ſeptum:
Quos inter pulchriflui deſcendũt flumina Nili.

Καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν.
Ἠ μὲν ὅσοι θήβην ἐρικυδέα ναιετάουσι,
Θήβην ὠγυγίην ἑκατόμπυλον, ἔνθα γεγωνὼς
Μέμνων ἀντέλλουσαν ἑὴν ἀσπάζεται ἠῶ.
Ὅσσοι θ' ἑπτάπολιν μεσάτην ἤπειρον ἔχουσιν.
Ἠδ' ὅσσοι νοτόφιν ἐπ' ἠϊόνεσσι θαλάσσης
Παραλίην ναίουσιν ἔσω στεφανίδος ἅλμης.
Τῆς πρὸς μὲν ζεφύροιο μακηδόνιον πτολίεθρον.
Ἔνθα σινωπίταο διὸς μεγάλοιο μέλαθρον,
Χρυσῷ τιμήεντι κεκασμένον. οὐκ ἂν ἐκείνου
Νηὸν ἐν ἀνθρώποισι θεώτερον ἄλλον ἴδοιο.
Οὐδὲ μὲν ἀφνειὴν ἑτέρην πόλιν. ἧχί περ ἄκραι
Φαίνονται σκοπιαὶ παλληνίδος εἰδοθεείης.
Τὴν δὲ μετ' ἀντολίηνδε πρὸς κασιώτιδα πέτραν
Πηλῆος πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσιν,
Ἔξοχα ναυτιλίης δεδαημένοι. οὐ μὲν ἐκεῖνοι
Ἄνδρες ἐν λιβύεσσιν ἀρίθμιοι. οὐ γὰρ ἐς αὐγὰς
Ἑπτὰ πόρους νείλοιο νενασμένον ἔλλαχον ἄστυ.
Ἄλλοι δὲ πλεῖστοι τὴν δὲ χθόνα ναιετάουσιν.
Οἱ μὲν ἐπ' ὠκεανῷ, οἱ δ' ἠπείρους ἀνὰ μέσσας.

Οἱ δ'

Etiã hanc quidẽ multi ac opulẽti homines tenẽt,
Tum qui Theben percelebrem habitant,
Theben uetuſtã, centumportanã : ubi creperus
Memnon exorientem ſuam ſalutat Auroram:
Quiq; ſeptemoppidanam internam cõtinentem
occupant:
Atq; qui auſtrina ad littora maris
Maritimam colunt uſq; ad Serbonium lacum.
Porrò hui9 ad Zephyrũ Macedoniũ oppidũ eſt:
Vbi Sinopitæ Iouis magni templum
Auro precioſo ornatum: haud facile illo
Templum inter homines diuinius aliud cernere
poteris: (ſummæ
Neq; certè æquè opulentã aliam urbem: ubi nam
Apparent ſpeculæ pallenidis Idotheiæ.
Hãc uerò poſt Orientẽ uerſus ad Caſioticã rupẽ
Pelei oppidum cognomine homines tenent,
Egregiè nauigationis periti: nec ſanè illi (tem
Homines inter Aphros cẽſendi, ſiquidẽ ad orien
À ſeptemuado Nilo ſitam ſortiti ſunt urbem.
Alij item plurimi hanc terram frequentant,
Hi quidem ad Oceanum, illi uerò continentes
per medias:

Οἵ τ' ἀμφ' εὐρείης Τριτωνίδος ὕδατα λίμνης.
Ἥ τε μέση λιβύης ἀμφέλκεται εὐρέα κόλπον.
Τοίη μὲν λιβύης μορφὴ καὶ σχῆμα τέτυκται.
Εἰ δὲ καὶ εὐρώπης ἐθέλεις τύπον, ὅττι σε κεύθω.
Αὐτὸς μὲν λιβύης ῥυσμὸς πέλει, ἀλλὰ μετ' ἄρκτους
Ἔστραπται, καὶ τοῖος ἐπ' ἀντολίην πάλιν ἕρπει,
Οἷος καὶ λιβύης νοτίης ὑπὸ τέρμα βέβηκεν.
Ἄμφω δ' ἶσον ἔχουσιν ἐπ' ἀσίδα νείατον ἴχνος.
Ἡ μὲν πρὸς Βορέαν, ἡ δ' ἐς νότον. εἰ δέ κε θείης
Ταύτας ἀμφοτέρας γαῖαν μίαν, ἥ κεν ἰθὺ πρὸς
Σχῆμα πέλοι κώνου πλευρῆς ἶσον ἀμφοτέρησιν,
Ὀξὺ μὲν ἑσπέριον, πλατὺ δ' ἀντολίην ἀπὸ μέσσην.
Τοὔνεκά μοι τοιοῦτον ἰδὼν πόρον ἀμφοτέρων
Ἠπείρων, ῥέα τέρμα κιχήσεαι εὐρωπείης.
Τῆς ἤτοι πυμάτην μὲν ἀπὸ γλωχῖνα νέμονται
Ἄγχι στηλάων μεγαθύμων ἔθνος ἰβήρων,
Μῆκος ἐπ' ἠπείροιο τεταμμένον, ἧχι Βορείου
Ὠκεανοῦ ψυχρὸς κέχυται ῥόος, ἔνθα Βρετανοί,

Λευκά τε

At alij circū uaſtæ Tritonidis *liquores paludis:*
Quæ quidem media Libyæ circumuoluit amplum ſinum.
Talis certè Libyæ forma & figura eſt.
Porrò ſi etiā Europæ optas effigiē, nihil te celo.
Eadē ſanè quæ Libyæ figura eſt, uerùm ad arctos
Verſa eſt, & talis ad orientem rurſus ſerpit,
Qualis etiam Libyæ auſtrinæ ad metam tendit.
Ambæ autem æquale habent ad Aſiam ultimum ueſtigium, *(ſi feceris*
Hæc quidem ad boreā, illa uerò ad notū. Quod
Has ambas terram unam, certè ad totum
Figura eſſet coni, lateribus æqualis duobus:
Acuta quidem ſub occidentem, lata uerò orientem ſub mediam.
Idcirco mihi talem conſpicatus meatū ambarum
Continētum, facile terminū uenabere Europæ.
Cuius uidelicet extremū quidem ſub angulum degunt
Prope columnas magnanimorum gens Iberûm,
Secundum longitudinem ad continentem uerſa, ubi ſeptentrionalis
Oceani frigidus fuſus eſt fluxus: ubi Bretani,

 Candidæq́;

Λευκά τε φῦλα νέμονται ἀρειμανέων γερμα-
νῶν,
Ερκυνίου δρυμοῖο παραθρώσκοντες ὀρόγκους.
Ηπειρον κείνην ἱκέλην ἐνέπουσι Βοείη.
Τοῖς δ' ἔπι πυρηναῖον ὄρος, καὶ δώματα κελ-
τῶν
Αγχόθι πηγάων καλλιῤῥόου ἠριδανοῖο.
Οὗ πότ' ἐπὶ προχοῇσιν ἐρημαίαν ἀνὰ νύκτα
Ηλιάδες κώκυσαν ὀδυρόμεναι φαέθοντα.
Κεῖθι δὲ κελτῶν παῖδες ὑφήμενοι αἰγείροισι
Δάκρυ ἀμέλγονται χρυσαυγέος ἠλέκτροιο.
Τὸν δὲ μεθ' ἑξείης τυρσηνίδος ἤθεα γαίης.
Τῆς δὲ πρὸς ἀντολίην ἀναφαίνεται ἄλπιος
ἀρχή.
Τῆς διὰ μεσσατίης: κατασύρεται ὕδατα ῥήνου,
Υστάτιον ποτὶ χεῦμα βορειάδος ἀμφιτρίτης.
Ρήνου δ' ἑξείης ἐπιτέλλεται ἱρὸς ἴστρος,
Ιστρος ἐς ἀντολίην τετραμμένος, ἄχρι θαλάσσης
Εὐξείνου. τόθι πᾶσαν ἐρεύγεται ὕδατος ἄχνην,
Πεντεπόροις προχοῇσιν ἑλισσόμενος περὶ πεύ-
κην. (μονται
Τοῦ μὲν πρὸς βορέην τετανυσμένα φῦλα νέ-
Πολλὰ μάλ' ἑξείης μαιώτιδος ἐς στόμα λίμνης.
Γερμανοὶ,

Candidæq; gentes habitant martiorum Germa
norum,
Hercyniæ ſyluæ frequentantes ſaltus.
Terram hanc ſimilem ferunt corio bubulo.
Hos autem iuxta Pyrenæus *mons, & domicilia*
Celtarum,
Prope fontes pulchriflui Eridani.
Cuius olim iuxta fluenta tacitam per noctem
Heliades fleuerunt lugentes Phaëtontem:
Illic item Celtarum *filij ſuccubantes populis*
Stillas mulgent auricoloris electri.
At ſequenter poſt hunc Hetruſcæ *ſedes terræ.*
Atq; huius ad orientem conſpicitur Alpis *princi*
pium:
Cuius per medium deſcendunt flumina Rheni,
Extremum ad profluuium borealis Amphitrites.
Rheno *autem deinceps cooritur immenſus* Iſter.
Iſter *in orientem conuerſus, uſq; ad mare*
Euxinum: *ubi omnem euomit undæ ſpumam,*
Quinqueuijs profluuijs diſtractus circa Peu-
cam.
Cuius quidẽ in Boreã *extentæ gentes habitant*
Permultæ ex ordine, Mæotidis *in oſtiũ paludis:*

Γέρμανοί, σαρμάται τε, γέται θ' ἅμα, Βαστέρ-
ναι τε.
Δακῶν δ' ἄσπετος αἶα, καὶ ἀλκήεντες ἀλανοί.
Ταῦροί θ', οἳ ναίουσιν ἀχιλλῆος δρόμον αἰπύν,
Στεινὸν ὁμοῦ δολιχόν τε, καὶ αὐτὰ ἐς στόμα λίμ-
νης. (λανῶν,
Τῶν θ' ὑπερεκτέταται πολυΐππων φῦλον ἀ-
Ἔνθα μελάγχλαινοί τε καὶ ἀνδρῶν ἱππημολγοί,
Νευροί θ' ἱππόποδές τε γελωνοί τ' ἠδ' ἀγά-
θυρσοι.
Ἧχι βορυσθένεος ποταμοῦ τετανυσμένον ὕδωρ
Μίσγεται εὐξείνου, κριοῦ προπάροιθε μετώπου,
Ὀρθὸν ὑπὲρ γραμμαῖς κατεναντία κυανεάων.
Κεῖθι καὶ ἀλδήσκοιο καὶ ὕδατα παντικάπαο
Ῥιπαίοις ἐν ὄρεσι διάνδιχα μορμύρουσι.
Τῶν δὲ παρὰ προχοῇσι πεπηγότος ἐγγύθι
πόντου
Ἠλυφανὴς ἤλεκτρος ἀέξεται, οἵα τις αὐγὴ
Μήνης ἀρχομένης. ἀδάμαντά τε παμφανόωντα
Ἐγγύθεν ἀθρήσειας ὑπὸ ψυχροῖς ἀγαθύρσοις.
Ἴστρου μὲν προσίδε βορειότεροι γεγάασι.
Πρὸς δὲ νότου, γέῤῥαι τε καὶ νωρικὶ ἄστε βρυμνὰ,
Παννόνιοι, μυσσοί τε βορειότεροι θρῄκων,

Αὐτοί

Germani, Samatæq́; , Getæq; ſimul, Baſtarnæq́; :
Et Dacorum ingens tellus, & fortis Alanus:
Tauriq́; , qui colunt Achillis curſum immenſum,
Anguſtum ſimul longumq́; , atq; ipſius in oſtium paludis. (Alanorum:
Supra quos etiam extenta eſt equis diuitum gens
Vbi Melanchlæniq́; , & uiri equimulgi, (ſi:
Neuriq́; , Hippopodesq́; , Geloniq́; , atq; Agathyr
Vbi Boryſthenis fluuij extenta aqua
Miſcetur Euxino, arietis ante frontem,
Directè per lineas ex oppoſito Cyanearum.
Illic quoq; Aldeſci & aquæ Panticapæ
Riphæis in montibus diuiſim murmurant.
Horum item iuxta profluuia, Congelatum prope mare, (ſplendor
Dulcilucum electrum naſcitur, uelut quidam
Lunæ recentis: Adamantemq; pellucidum
Non longè inde cernere poteris ſub frigidis Agathyrſis.
Iſtro ſanè tot ſeptentrionaliores exiſtunt.
Ad Auſtrum autem, Gerrhæq́; , & Noricæ urbes munitæ:
Pannonij, Myſiq́; , ſeptẽtrionaliores Thracibus:

Αὐτοί τε θρήϊκες ἀπείρονα γαῖαν ἔχοντες,
Οἱ μὲν ὑπὲρ πλευρῇσι προποντίδος ἀμφιτρίτης,
Οἱ δ' ὑπὲρ ἑλλήσποντον ἀγάρροον, οἱ δ' ὑπὲρ αὐτῆς
Αἰγαίης βαθὺ κῦμα πολυφλοίσβοιο θαλάσσης.
Ενθα μελισσοβότοιο κατὰ σκοπιὰς παλλήνης
Φύεται ἀστρίος, καλὸς λίθος, οἷά τε ἀστὴρ
Μαρμαίρων, λύχνις τε πυρὸς φλογὶ πάμπαν ὁμοίη.
Ιστρον μὲν ποταμὸν τόσσοι προναιετάουσι.
Φράζεο δ' εὐρώπης λοιπὸν πόρον, ὅς τ' ἐπὶ τρισσὴν
Εκτέταται κρηπῖδα πρὸς ἠῶ, τὴν μὲν ἰβήρων,
Τὴν δὲ πανελλήνων, τὴν δ' ἐσθλῶν αὐσονιήων.
Αλλ' ἤτοι πυμάτη μὲν ἀγαυῶν ἔστιν ἰβήρων,
Γείτων ὠκεανοῖο πρὸς ἑσπέρου. ἐν δέ οἱ ἄκρῃ
Στηλάων ἀλύβη κεῖται μία. τῆς δ' ὑπένερθεν
Ταρτησὸς χαρίεσσα ῥυηφενέων πέδον ἀνδρῶν,
Κεμψοί θ' οἳ ναίουσιν ὑπαὶ πόδα πυρηναῖον.
Μέσση δ' ἀμφοτέρων παρατέταται αὐσονὶς αἶα
Γουλυτελής, τὴν μέν τε μέσην ὄρος ἄνδιχα τέμνει

Ορθόν,

Ipſiq; Thraces immenſam terram occupantes,
Hi quidem ad latera Propontidis maris,
Illi uerò ſuper Helleſpontum citifluum, reliqui autem ſuper ipſius
Aegæi profundam undam multiſoni maris.
Vbi apiferæ per rupes Pallenæ
Naſcitur Aſterius, pulcher lapis, inſtar ſtellæ
Splendēs: & Lychnis flammæ ſimillimus ignis.
Iſtrum quidem fluuium tot circunfrequentant.
Conſidera uerò Europæ reliquum meatum, qui ad triplicem
Extentus eſt ſoleam, hanc quidem Iberûm,
Illam uerò omnium Græcorum, reliquam autem fortium Auſoniorum.
Atqui ultima quidem illuſtrium eſt Iberûm
Vicina Oceanum ad ueſperum, In ipſa autem extrema
Columnarum Alyba ſtat una. hac uerò ſubter
Tarteſus amœna, diuitijs affluentium ſolum hominum.
Celtiq; qui degunt ſub pede Pyrenæo.
Sed media ambarum aduolat Auſonia tellus
Opulenta: quā quidē mediā mons in duas ſecat
Directus,

Ὀρθὸν, ἅτ' ἐκ στάθμης ἰθυμμένον. οὐκ ἂν ἐκεῖνο
Ἴδριες μωμήσαιτο σοφῆς ὑποεργὸς ἀθλῆς.
Οὔρεα δ' ἀπεννῖνον κικλήσκουσ'. ἐκ δὲ Βορείης
Ἄλπιος ἀρχόμενον, σκολιὴν ἐπὶ πορθμίδα λήγει.
Πολλὰ δέ οἱ φῦλ' ἀμφὶς, τάων ῥέα πάντ' ἀγορεύσω,
Ἀρξάμενος πλευρῆς ζεφυρήτιδος ἐκ Βορέαο.
Τυρσηνοὶ μὲν πρῶτ'. ἐπὶ δέ σφισι φῦλα Πελασγῶν,
Οἵ ποτε Κυλλήνηθεν ἐφ' ἑσπερίην ἅλα βάντες
Αὐτόθι ναιήσαντο σὺν ἀνδράσι Τυρσηνοῖσι.
Τοῖς δ' ἐπὶ μορμόρον ἔθνος ἀγαυῶν ἐστι Λατίνων,
Γαῖαν ναιετάοντες ἐπήρατον. ἧς διὰ μέσσης
Θύμβρις ἑλισσόμενος καθαρὸν ῥόον εἰς ἅλα βάλλει,
Θύμβρις ἐϋρρείτης ποταμῶν βασιλεύτατος ἄλλων,
Θύμβρις, ὃς ἱμερτὴν ἀποτέμνεται ἄνδιχα Ῥώμην,
Ῥώμην τιμήεσσαν, ἐμῶν μέγαν οἶκον ἀνάκτων,
Μητέρα πασάων πολίων, ἀφνειὸν ἔδεθλον.
Τῇ δ' ἐπὶ Καμπανῶν ἱερὸν πέδον. ἧχι μέλαθρον
Ἁγνῆς Παρθενόπης σταχύων βεβριθὸς ἀμάλλαις,

Παρθενόπης,

Directus, uelut ex amuſsi æquatus: Nec illum
Solers reprehenderit ſapiētis miniſter Palladis:
Quem utiq; Apenninum uocant: è ſeptentriona
li uerò (quieſcit.
Alpi incipiens Siculum ad anguſtum traiectum
Multæ autem illi gentes circumſunt: quos tibi fa
cile omnes recenſebo,
Orſus à latere occidentali è borea.
Thuſci quidem primū: iuxta hos uerò progenies
Pelaſgûm, (fecti,
Qui quondam è Cyllena ad ueſperum mare pro
Illic conſederunt cum uiris Hetruſcis.
Hos itē iuxta grauis gens illuſtriū eſt Latinorū,
Terram colentes exoptatam: quam per mediam
Thybris tractus liquidū fluentū in mare mittit,
Thybris pulchrifluus, fluuiorum rex aliorum,
Thybris qui deſiderabilē ſecat in duas Romam,
Romam glorioſam, meorum magnam domum re
gum,
Matrem omnium urbium, opulentam ſedem.
Hanc autem iuxta Campanorum immenſum ſo-
lum: ubi ædes
Caſtæ Parthenopes ſpicarum impleta maniplis,
Parthenopes,

Παρθενόπης, ἣν πόντος ἑοῖς ὑπεδέξατο κόλποις.
Πρὸς δὲ νότον μάλα πολλὸν ὑπὲρ σειρηνίδα (πέτρην
Φαίνονται προχοαὶ πολυηχέος σιλάροιο.
Ἄγχι δὲ λευκανοὶ καὶ βρέττιοι ἄνδρες ἔασι.
Τοσσάτιον ναίοντες, ὅσον λευκὴν ἐπὶ πέτρην.
Κείνου δ' ἂν βορέην ζεφύρου παραφαίνετ' ἄκρη.
Τῇ δ' ὑπὸ λοκροὶ ἔασιν, ὅσοι προτέροις ἐτέεσσιν
Ἦλθον ἐπ' αὐσονίην σφετέρῃσι μιγέντες ἀνάσσαις.
Τῶν καὶ νῦν γένος ἐστὶ προχοῇσιν ἄληκος.
Τοὺς δὲ μεθ' ἑξείης μεταπόντιοι. ἐγγύθι δὲ σφῶν
Ἱμερτὸν πτολίεθρον ἐϋστεφάνοιο κρότωνος
Ναιόμενον χαίροντος ἐπ' αἰσάρου προχοῇσιν.
Ἔνθα λάκιν' αἰπεινὸν ἰδεῖν λακινιάδος δόμον ἥρης.
Ἔστι δέ τοι κἀκεῖθι διὸς μέγα χωσαμένοιο
Δειλαίη σύβαρις, ναέτας συναγοῦσα πεσόντας
Μηναμένους ὑπὲρ αἶσαν ἐπ' ἀλφειοῦ γεράεσσι.
Καὶ μαρσῶν θοὰ φῦλα. τάρας δ' ἁλὸς ἐγγύθι κεῖται,
Ἥν ποτ' ἀμυκλαίων ἐπολίσσατο καρτερὸς ἄρης.
Ἑξείης δ' ἐπὶ τοῖσι καλαβρίδος ἤθεα γαίης.
Φῦλά τε ἰαπύγων τετανυσμένα μέσφ' ὑρίοιο
Παραλίης.

Parthenopes, quam pontus ſuis ſuſcepit ſinibus.
Cæterum ad auſtrum ſuper Sirenium ſaxum
Apparent profluuia Peucentini Silari.
Propè uerò Lucani & Brutij uiri ſunt,
Tantum occupantes quantum albam ad petram.
Illic uerò ad Boream Zephyri apparet promontorium:
Hoc uerò ſub Locri ſunt, qui prioribus annis
Venerunt in Auſoniam ſuis mixti matronis:
Quorũ etiam hodie genus eſt ad fluẽta Halecis.
At ſequẽter poſt hos Metapontij: ſed propeipſos
Deſideratum oppidum bene munitæ Crotonis,
Frequentatum amœni ad Aeſari profluuia:
Vbi quidem excelſam cernere potes Laciniæ ædem Iunonis.
Eſt autem & illic Iouis multum irati
Infelix Sybaris, ciues conquerens lapſos,
Dementatos ſupra modũ ſub Alphei honoribus.
Et Marſorum ueloces gentes. Tarentũ uerò mari uicinè iacet,
Quam olim Lacedæmoniorum condidit diuturnum bellum.
At deinceps prope hos Calabriæ moramina terræ:
Gentesq; Iapygũ extentæ uſq; ad Hyriũ

Maritimam,

Παραλίης. ὑψοῦ τόθι σύρεται ἀδριὰς ἅλμη
Πόντον ἐπ' ἀγχίπορον ἀκυλήϊον. ἔνθα νενάσται
Ἄστυ τεργεσταίων μυχάτοις ἐπὶ πείρασι πόντου.
Τόσσα μὲν αὐσονίην περιβόσκεται ἔθνεα γαῖαν.
Κεῖθεν δ' εἰς αὐγὰς στρεπτὴν περισύρεται ἅλμην,
Θῖνας ὑποξύουσα λιβυρνίδας, ἀμφί τ' ὀρυμνὴν
Ὑλλέων χθόνα πᾶσαν, ὅσοι περικέκλινται ἰσθμῷ,
Βουλινέων τ' ἀκταῖς. ἐπὶ δ' ἄπειρον ὁλκὸν ἄγουσα
Ἰλλυρικὴν περὶ χέρσον ἑλίσσεται, ἄχρι κολώνης
Οὐρέων ἠλιβάτων, τὰ κεραύνια κικλήσκουσι.
Κεῖνον δ' αὖ περὶ κόλπον ἴδοις ἐρικυδέα τύμβον,
Τύμβον, ὃν ἁρμονίης Κάδμοιό τε φῆμις ἐνίσπει.
Κεῖθι γὰρ εἰς ὀφίων σκολιὸν δέμας ἠλλάξαντο.
Ὁππότ' ἀπ' ἰσμηνοῦ λιπαρὸν μετὰ γῆρας ἵκοντο.
Ἔνθα σφιν τέρας ἄλλο θεοὶ θέσαν. ἀμφὶ γὰρ αἶαν
Κείνην ἀμφοτέρωθεν ἐρηρέδαται δύο πέτραι.
Αἵτ' ἄμφω συνίασι διευθύμεναι. εὖτέ τις αὐχὴ
Γίνεται ἐννάετησι κυλινδομένοιο καιροῖο.

Πρὸς

Maritimam, Hyrium, ubi flectitur Adrium ſalum
In põtũ tranatu facilẽ Aquileiũ: ubi frequẽtatur
Vrbs Tegeſtræorum, intimos ad fines ponti.
Tot quidẽ Auſoniã circũcolunt gentes terram.
Inde autem ad aurorã flexum circũuoluit ſalum,
Littora ſubradens Liburnica, circumq́; munitam
Hylleorum terram omnem, quæcunq́; acclinata
eſt Iſthmo,
Bulineorumq́; littoribus. poſt uerò immenſum
tractum ductans (ad iugum
Illyricam circum ſolitudinem uolutatur, uſq; ad
Montium excelſorum, quos Ceraunios uocant.
Illum autem circa ſinum cernere poteris inſi-
gnem tumulum, (brat.
Tumulum, quem Harmoniæ Cadmiq́; fama cele
Illic enim in ſerpentum tortuoſum corpus muta
ti ſunt, (grarunt.
Quando ab Iſmeno maturam poſt ſenectam mi-
Ibi ſanè prodigium aliud dij fecerunt: circa nan-
que terram
Illam utrinq; fulta ſunt duo ſaxa, (ſeditio
Quæ ambo concurrunt crepitantes, cum aliqua
Accidit incolis uerſatilis mali.
I Cæterum

Πρὸς δὲ νότον μάλα πολλὸν ὑπὲρ Θρῄκην ὀρί-
βωλον
Ωκείην θ' ὑπὲρ αἶαν ἐρείδεται Ἑλλάδος ἀρχὴ,
Πολλὸν ἀνερχομένη, δισσῇ ζωσθεῖσα θαλάσσῃ,
Αἰγαίῃ Σικελῇ τ'. ἄνεμον δέ τοι ἤλαχ' ἑκάστη,
Εσπέριον Σικελὴ, τόν τε ζέφυρον καλέουσιν,
Αἰγαίη δ' εὖρον. πέλοψ δ' ἐνὶ νῆσος ὄπι-
σθεν,
Εἰδομένη πλατάνου μυουρίζοντι πετήλῳ.
Ακρῳ μὲν γὰρ ἔοικεν ἐεργόμενος στενὸς ἰσθμὸς
Πρὸς Βορέην, καὶ ξυνὸν ἐφ' Ἑλλάδος ἴχνος ἐ-
ρείδων,
Φύλλῳ δ' ἤπειρος πολυδινήτῳ περίμετρος,
Κόλποις εἰναλίοις, ἐστεμμένη ἔνθα καὶ ἔνθα.
Τῆς μὲν πρὸς ζέφυρον τριφυλλίδος ἤθεα γαίης.
Ενθ' ἐρατεινότατος ποταμῶν ἀλφειὸς ὁδεύει,
Σχιζόμενος προχοῇσι μεσημβρινοῦ ὑγρώταο,
Οἵτ' ἄμφω ἀσίηθεν ἀναβλύζουσι ῥέεθρα,
Αλλ' ὁ μὲν ἠλείων, ὃ δ' ἀμυκλαίων χθόνα τέμνει.
Καδδὲ μέσην νῆσον κοίλην χθόνα ναιετάουσιν
Αρκάδες ἀπιδανῆες ὑπὸ σκοπιὴν ἐρυμάν-
θου.
Ενθα μέλας, ὅθι κρᾶθις, ἵνα ῥέει ὑγρὸς ἰάων.

Ηχι

Cæterum ad Auſtrum non parum, ſuper Thraciam feracem,
Oriciamq; ſuper terram inſtat Græciæ initium,
Multum aſcendens, duplici circundatum mari,
Aegæo Siculoq;: uentum aūt ſortitū eſt utrunq;,
Veſperum Siculum, quem Zephyrum appellāt,
Aegæū uerò Eurū. Pelopis aūt inſula cōſequitur
Similis platani muris caudam imitanti folio:
Caudici ſiquidē aſſimilatus eſt occluſus ſtrictus Iſthmus
Ad Boream, atque commune ad Græciam ueſtigium firmans:
Folio uerò continens anguloſo immenſa,
Sinibus marinis circundata hincinde.
Cuiús quidem ad Zephyrum Triphyliæ manſiones terræ:
Vbi amabiliſſimus fluuiorū Alpheus uiam ſecat,
Diuiſus profluuijs à Meſenio Eurota:
Qui ambo ab Aſia profundunt fluenta:
Sed hic quidem Eleorū, ille uerò Amyclæorum terram ſecat.
In media aūt inſula conuallē regionem habitant
Arcades Apidanei ſub ſpeculam Erymanthi:
Vbi Melas, ubi Crathis, ubi fluit liquidus Iaon:

Ηχι καὶ ὠγύγιος μηκύνεται ὕδασι λάδων.
Αγχοῦ δ' ἀργείων ἄροσις, καὶ γαῖα λακώνων,
Η μὲν ἐπ' ἀντολίην, ἡ δ' ἐπὶ νότον ὁρόωσα.
Δοιαὶ δ' ἴσθμια νῶτα προσιβρομέουσι θάλασσαι,
Ητ' ἐφύρης ἀντικρὺ ποτὶ ζόφον, ἥτε πρὸς αὐ-
γὰς
Ελκομένη, τὴν περ τε σαρωνίδα κικλήσκουσι.
Νόσφι γε μὴν ἰσθμοῖο πρὸς αὐγὰς ἀττικὸν οὖδας,
Τοῦ διὰ θεσπεσίου φέρεται ῥόος ἰλισσοῖο.
Ενθεν καὶ βορέης ποτ' ἀνήρπασεν ὠρείθυιαν.
Τῷ δ' ἐπὶ βοιωτῶν τε πέδον, καὶ λοκρῶν ἄ-
ρουρα
Θεσσαλίη δ' ἐπὶ τοῖσι, μακηδονίης τε πόληες.
Ταῖς δ' ἐπὶ φαίνονται κορυφαὶ χιονώδεος αἵμου
Θρηϊκίου. τοὶ δ' ἄντα ποτὶ ῥιπὴν ζεφύροιο
Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται.
Τῆς δ' ὑπὲρ ἐς νότον εἰσὶ μετὰ σκοπιὴν ἀρα-
κύνθου
Ανδρῶν αἰτωλῶν πεδίον μέγα. τοῖς διὰ μέσσου
Σύρεται ὁλκὸν ἄγων ἀχελώϊος ἀργυροδίνης,
Τειναχείης ἐπὶ πόντον ἑλισσόμενος, διὰ μέσ-
σων
Νήσων, ἃς καλέουσιν ἐχινάδας. εἰσὶν ὅμουρον
Εσπεται

Vbi etiam ingens elongatur aquis Ladon.
Vicinè autem Argiuorum cultura, & tellus Laconum, *(ſpectans.*
Hæc quidem in orientem, illa uerò in auſtrum
Duo præterea Iſthmia dorſa circunſonãt maria,
Quodq́; Ephyren contra ad occaſum, quodq́; ad ortum
Voluitur, quod quidem & Saronium uocant.
Porrò ſubter Iſthmũ ad orientẽ Attica tellus eſt:
Quam per mirandi fertur fluxus Iliſsi:
Vnde etiam Boreas quondam rapuit Orithyam.
Hunc autem iuxta Bœotorumq́; ſolum, & Locrorum aruum.
Theſſalia uerò ſub hos, Macedoniæq́; urbes.
Has item iuxta apparent uertices niuoſi Aemi
Thracij. Huius aũt è regione ad plagã Zephyri
Dodonæ Epirus immenſa extenta eſt.
Verùm hanc ſuper in auſtrum uergit poſt ſpeculam Aracinthi *(medium*
Hominum Aetolorũ campus magnus: quem per
Labitur tractum ductans Acheloius argentifer.
Trinacriæ in Pontum uolutus, per medias
Inſulas quas uocant Echinadas: quas uicinorum

Εσπεται ἄλλυδις ἄλλα κεφαλλήνων πτολίεθρα.
Τῷ δ' ἐπὶ φωκὶς ἄρουρα πρὸς αὐτολίην τε καὶ ἠῶ
Ελκομένη βορέηνδε ἐπὶ στόμα θερμοπυλάων,
Παρνησοῦ νιφόεντος ὑπὸ πτυχί. τοῦ δὲ διὰ μέσης
Κηφισσοῦ μέγα χεῦμα κατορχόμενον κελαρύζει.
Τῷ παρὰ πυθῶνος θυόεν πέδον. ἧχι δράκοντος
Δελφύνου τριπόδεσσι θεοῦ παρακέκλιται ὁλκὸς,
Ολκὸς ἀπειρεσίῃσιν ὑφειόσων φολίδεσσιν
Νηῷ ἐν ἱμερτῷ. τόθι πολλάκις αὐτὸς ἀπόλλων,
Η ἀπὸ μιλήτου, ἢ ἐκ κλάρου ἄρτι βεβηκὼς,
Ιστάμενος χρυσέης ἀναλύεται ἅμμα φαρέτρης.
Αλλ' ὁ μὲν ἱλήκοι. σὺ δέ μοι δίος ἔννεπε μοῦσα,
Νήσων πασάων ἱερὸν πόρον, αἵτ' ἐνὶ πόντῳ
Ανδράσι φαίνονται τετραμμέναι ἄλλυδις ἄλλαι.
Ητοι μὲν κατὰ μέσσον ὑφ' ἑσπερίων στηλάων,
Εσχατόωντα γάδειρα φαείνεται ἀνθρώποισι
Νήσου ἀπ' ἀμφιρύτης, ἐπὶ τέρμασιν ὠκεανοῖο.
Ενθάδε φοινίκων ἀνδρῶν γένος ἐνναίουσιν,
Αζόμενοι μεγάλοιο διὸς γόνον ἡρακλῆα.

Καὶ

Sequuntur alibi alia Cephalenorum oppidula.
Hunc autem iuxta Phocis tellus ad orientemq;
& auroram
Tracta, boreã uerſus per oſtiũ Thermopylarũ,
Parnaſi niuoſi ſub iugo: quam per mediam
Cephiſsi uaſtum fluentũ deſcendens murmurat:
Quem prope Pythonis nidoroſum ſolum: ubi
draconis
Delphinæ tripodibus dei acclinata eſt ſpira,
Spira numeroſis inhorrens ſquamis,
Aede indeſiderabili: ubi ſæpenumero ipſe Apol
lo
Aut à Mileto, aut è Claro pridem profectus,
Stans aureæ exuitur balteo pharetræ.
At hic quidem boni conſulat. Tu autem mihi Io-
uis refer muſa (ponto
Inſularum omnium immenſum meatum, quæ in
Hominibus apparent, uerſæ aliorſum aliæ.
Porrò in medio ſub ueſperis columnis
Extremæ Gades apparent hominibus
Inſula è circunflua, in finibus Oceani:
Ibi Phœnicum hominum genus incolunt,
Venerantes magni Iouis filium Herculem:

Καὶ τὴν μὲν ναετῆρες ἐπὶ προτέρων ἀνθρώπων
Κληιζομένην κοτίνουσαν ἐφημίξαντο γάδειρα.
Νῆσοι δ' ἑξείης γυμνήσιαι. ἄγχι δ' ἔβουσος.
Σαρδώ τ' εὐρυτάτη. καὶ ἐπήρατος εἰν ἁλὶ κύρνος,
Ἣν ῥά τε κορσίδα φῶτες ἐπιχθόνιοι καλέουσιν.
Ὕλη δ' ἀμφιλαφὴς οὔτις τόσον ὅσον ἐκείνη.
Τὴν δὲ μετ' αἰόλου εἰσὶ περίδρομοι εἰν ἁλὶ νῆσοι,
Αἰόλου ἱπποτάδαο φιλοξείνου βασιλῆος,
Αἰόλου, ὃς θνητὰ μετ' ἀνδράσιν ἔλαχε δῶρα,
Κοιρανίην ἀνέμων κλονεόντων θ' ἱσταμένων τε.
Ἑπτὰ δέ οἱ ταίγ' εἰσὶν ἐπώνυμοι, ἀνδράσι πλωταὶ,
Οὕνεκα μέσσον ἔχουσι περίπλοον ἀμφιέλικτον.
Τεινακείη δ' ἐπὶ τῇσιν ὑπὲρ πέδον αὐσονιήων
Ἐκτέταται πλευρῇσιν ἐπὶ τρισὶν ἑστηκυῖα.
Ἀκρα δέ οἱ πάχυνός τε πελωρίς τε λιλύβη τε.
Ἀλλ' ἤτοι λιλύβη μὲν ἐπὶ ῥιπὴν ζεφύροιο
Εἰσανέχει. πάχυνος δὲ πρὸς αὐγάς. αὐτὰρ ἐπ' ἄρκτους
Ἠνεμόεσσα πελωρὶς, ἣν αὐσονίην ὁρόωσα.

Τῆς

Atq; hãc quidẽ incolæ ſub prioribus hominibus
Dictam hodie Cotinuſam, uocarunt Gades.
Inſulæ autem deinceps Gymneſiæ: propè uerò Ebuſus, (*nus:*
Sardiniaq́; latiſſima: & peramœna in mari Cyr-
Quam ſanè Corſicam uiri mortales appellant:
Nemoribus autem undiq; cincta nulla tantum, quantum illa. (*ſulæ,*
Hanc item poſt Aeoli ſunt circunfluæ in mari in
Aeoli nobilis, hoſpitalis regis,
Aeoli, qui mirãda inter homines ſortitus eſt munia,
Imperium uentorum furentiumq́; ſtantiumq́;.
Septem autem ei illæ ſunt cognomines, hominibus Plotæ: (*undiq; remigabilem.*
Eo quòd mediam habent circumnauigationem
Trinacria aũt iuxta has ſuper ſolũ Auſoniorum
Extenta eſt, latera ad tria fulta: (*beq́;:*
Promontoria uerò ei Pachynusq́; Peloriſq́; Lily
Sed enim Lilybe quidem ad plagam Zephyri
Inſurgit: Pachynus uerò ad orientem: cæterum ad arctos
Ventoſa Peloris, in Auſoniam ſpectans.

Τῆς πρὸς μὲν Βορέην ὀλοὴ ναύτῃσι κέλευθος
Στεινή τε σκολιή τε καὶ ἄχετος, ἧχι θάλασσα
Συρομένη μακρῇσι περιβρέμεται σπιλάδεσσιν.
Αἰονίῳ τμηθεῖσα πολυγλώχινι σιδήρῳ.
Πρὸς δὲ νότον λιβυκός τε πόρος καὶ σύρτιδος ἀρχὴ (ρήσας
Τῆς ἑτέρης. ἑτέρην δ' αὖ ἴδοις προτέρωσε, πε
Ἑσπερίην. τῆς πρόσθε δύω νησῖδες ἔασι
Μήνιγξ καὶ κέρκινα, λιβυστικὸν ὅρμον ἔχουσαι.
Ἀλλ' ὁπότ' ἀδριάδος σκαιὸν πόρον ἀμφιτρίτης
Εἰσελάσῃς ἐπὶ νηὸς ἰηπυγίην ἐπὶ γαῖαν,
Δήεις ἰφθίμου διομήδεος αὐτίκα νῆσον.
Ἔνθ' ἥρως ἀφίκανε χαλεψαμένης ἀφροδίτης,
Ὁππότε τριλλίστων μετεκίαθεν ἔθνος ἰβήρων,
Ἧς ἀλόχου βουλῇσι κακόφρονος αἰγιαλείης.
Ἑξείης δὲ πόροιο πρὸς αὐγὰς ἠελίοιο
Ἀψύρτου νήσων ἀναφαίνεται ἄσπετος ὁλκός.
Τὰς ποτε κόλχων υἷες ἐπέδραμον, εὖτ' ἐμόγησαν
Ἴχνια μαστεύοντες ἀλήμονος αἰητίνης.
Ἑξείης δ' ἐπὶ τῇσι λιβυρνίδες ἐρρίζωνται.
Πρὸς δὲ νότον μετὰ δρυμὰ κεραύνια νηὶ θεούσῃ

Νῆσοι

Huius quidem ad boream periculoſa nautis uia,
Anguſtaq́; difficiliſq́; & inimica ubi mare
Pertractum longis circunſonat ſcopulis,
Littoreo ſciſſum anguloſo ferro.
Sed ad auſtrũ Libycuſq́; meatus & Syrtidis initium eſt
Alterius (alterã uerò uidiſſes ultra, prætermẽſus
Occidentalem) quam ante duæ inſululæ ſunt,
Meninx & Cercina, Libyſticũ portũ habentes,
Verùm cum Adriatici ſiniſtrum uadum maris
Intraueris cum naui, Iapygiam ad terram,
Inuenies fortis Diomedis confeſtim inſulam:
Qui Heros conceſsit infenſæ Veneris,
Quãdo famoſiſsimorũ peragrauit gentẽ Iberûm,
Suæ uxoris technis maleuolæ Aegialiæ.
Sequenti item tractu ad ortum ſolis
Abſyrti inſularum relucet immenſus ductus:
Quas olim Colchorum filij inuaſerunt, quando defeſsi ſunt
Veſtigia indagantes errabundæ Aeetinæ.
Deinceps autem iuxta has Liburnicæ ſitæ ſunt.
Verùm ad auſtrum poſt ſyluas Ceraunias naui currenti

Inſulæ

Νῆσοι μὲν φαίνοιντο παραιόθεν ἀμπρακιήων,
Καὶ λιπαρὴ κέρκυρα φίλον πέδον ἀλκινόοιο.
Τῇ δ' ἤδη νηρίτης ἰθάκης ἕδος ἐστήρικται,
Νήσων τ' ἀλλάων ὅσας τ' ἀπὸ χαλκίδος ἕρπων
Δίνης ἀργυρέης ἀχελώϊος ἀμφελίσσει.
Πολλαὶ δ' ἀμνισοῖο βορειότεραι ὁρόωνται,
Αἴγυλά τ' ἠδὲ κύθηρα καλαύρειά τε τρηχεῖα.
Κάρπαθος αὖθ' ἑτέρωθι ποτὶ νότον. ἐγγύθι δ' αὐτῆς
Κρήτη τιμήεσσα διὸς μεγάλοιο τιθήνη,
Πολλή τε λιπαρή τε καὶ εὔβοτος. ἧς ὕπερ ἴδη,
Ιδη καλλικόμοισιν ὑπαὶ δρυσὶ τηλεθόωσα.
Καὶ τῆς τοι μέγεθος πεδιώσιον. ἄντα δὲ πέζης
Αἰγυπτίης ῥόδος ἐστὶν ἰηλυσίων ἕδος ἀνδρῶν.
Τὴν δὲ μετ' αὐτολίην δὲ χελιδονιαὶ γεγάασι
Τρεῖς νῆσοι μεγάλης παταρηΐδος ἔνδοθεν ἄκρης.
Κύπρος δ' εἰς αὐγὰς παμφυλίου ἔνδοθι κόλπου
Κλύζετ' ἐπήρατον ἄστυ διωναίης ἀφροδίτης.
Αγχι δὲ φοινίκης ἄραδος μεγάλῳ ἐνὶ πόντῳ.

Πρόσθ'

Inſulæ apparebunt à longe Ampracienſium:
Atq; pinguis Cercyra, gratum ſolum Alcinoi.
Hinc autem iuxta aſperæ Ithacæ ſedes fulta eſt,
Inſularumq́; aliarum, quotquot è Chalcide ſerpens
Vorticibus argenteis Acheloius circumalluit.
Multæ uerò Amniſſo ſeptentrionaliores conſpiciuntur,
Aegulaq́;, atq; Cythera, Calauriaq́; aſpera cultu:
Carpathus item alteribi ad auſtrum. Prope autem ipſam
Creta ueneranda Iouis magni nutrix,
Magnaq́; pinguisq́; & paſcua: quam ſuper Ida,
Ida pulchricomas propter ſyluas eminꝰ uireſcẽs:
Atq; huius quidem magnitudo exuperans. È regione uerò oræ
Aegyptiæ Rhodus eſt, Ialyſiorũ ſedes hominũ.
Hinc autẽ poſt orientẽ uerſus Chelidoniæ ſunt
Tres inſulæ, magnum Pataricum intra promontorium.
Cyprus item ad orientẽ Pamphylicũ intra ſinũ
Alluitur, chara domus Dionææ Veneris.
Iuxta uerò Phœnicen Aradus uaſto in ponto.

Cæterum

Πρόσθε δὲ σουνιάδος κορυφῆς ἐφύπερθεν ἀβάντων
Φαίνονται σαλαμίς τε, καὶ αἰγίνης πτολίεθρον.
Θηητὸς δέ τις ἐστὶ βαθὺς πόρος αἰγαίοιο,
Ἐντὸς ἔχων ἑκάτερθεν ἀπειρεσίων στίχα νήσων,
Οσσον ἐπὶ στεινωπὸν ὕδωρ ἀθαμαντίδος ἕλλης.
Στεινὸς ὅπῃ καὶ ἄβυδος ἐναντίον ὅρμον ἔθεντο.
Εὐρώπης δ' αἱ μὲν λαιῆς ὑπὸ νεύμασι χειρὸς
Ῥώονθ' ἑξείης, ἀσίης δ' ἐπὶ δεξιὰ κεῖνται,
Μῆκος ἐπ' ἀρκτῴοιο τιταινόμεναι βορέαο.
Εὐρώπης δ' ἤτοι μὲν ἀβαντιὰς ἔπλετο μάκρεις.
Σκῦρός τ' ἠνεμόεσσα, καὶ αἰπεινὴ πεπάρηθος.
Ἔνθεν καὶ λῆμνος κραναὸν πέδον ἡφαίστοιο
Πέπταται. ὠγυγίη τε θάσος δημήτερος ἀκτή.
Ιμβρος, θρηικίη τε σάμος κορυβάντιον ἄστυ.
Αἱ δ' ἀσίης πρώτην αἶσαν λάχον ἀμφὶς ἐοῦσαι
Δῆλον ἐκυκλώσαντο, καὶ οὔνομα κυκλάδες εἰσί.
Ῥύσια δ' ἀπόλλωνι χοροὺς ἀνάγουσιν ἅπασαι
Αρχομένου γλυκεροῦ νέον εἴαρος, εὖτ' ἐν ὄρεσσιν
Ανθρώπων ἀπάνευθε κύει λιγύφωνος ἀηδών.

Νῆσοι

Cæterum ante Suniũ promõtoriũ ſupra Abãtas
Apparent Salamisq́;, & Aeginæ oppidulum.
Admirandus autem quidam eſt immẽſus meatus
Aegæi, (inſularum,
Intus continens utrinq; innumerabilium ſeriem
Quantum ad ſtrictã undã Athamãtidis Helles:
Seſtus ubi & Abydus contrariũ portũ efficiunt.
Europæ aũt illæ quidẽ læuæ ſub flexibus manus
Fluitant ex ordine, Aſiæ uerò ad dexteras iacẽt:
Secundum longitudinem ad arctoum protentæ
boream.
Porrò Europæ quidem Abantias eſt Macris,
Scyrusq; uentoſa, & excelſa Peparethus:
Vnde & Lemnus aſperum ſolum Vulcani
Volitat: uetuſtaq́; Thaſus, Cereris granarium:
Imbrus: Threiciaq; Samus, Corybantica ſedes.
Quæ uerò Aſiæ primum locum nactæ ſunt, circum exiſtentes
Delum coronarunt, & nomine Cyclades ſunt.
Patrocinia uerò Apollini choros quotannis celebrant uniuerſæ
Incipiente dulci primũ uere, quãdo in montibus
Abhominib. procul fœtificat dulciſona luſcinia.
Inſulæ

Νῆσοι δ' ἑξείης ἀπορώμεναι πολυπαμφανόωσιν,
Οἷον ὅτ' ἀννεφέλοιο δὶ ἠέρος εἴδεται ἄστρα
Υγρὰ νέφη κραιπνοῖο βιησαμένου βορέαο.
Ταῖς δ' ἤδη νῆσοι ἔασιν ἰωνίδων, ἔνθα δὲ κχῶ-
νος, (ἥρης.
Καὶ σάμος ἱμερόεσσα πελασγίδος ἕδρανον
Καὶ χίος ἠλιβάτοιο πελωραίου ὑπὸ πέζαν.
Κεῖθεν αἰολίδων ἀναφαίνεται οὔρεα νήσων.
Λέσβου τ' εὐρυχώροιο, καὶ ἱμερτῆς τενέδοιο.
Κεῖθι μέλας τε κόλπος ἐφ' ἑλλήσποντον ἴησιν
Αφρὸν ἐρευγόμενος. βορέην δ' ἤδη πολλὸν
ἰόντι (θαλάσσης.
Πέπταται ἔνθα καὶ ἔνθα πολυποντίδος οἶδμα
Εστι δέ τις καὶ σκαιὸν ὑπὲρ πόρον εὐξείνοιο
Αντα βορυσθένεος πολυώνυμος εἰν ἁλὶ νῆσος
Ηρώων, λευκὴν μιν ἐπωνυμίην καλέουσιν,
Οὕνεκά οἱ τὰ περ ὅσσα κινώπετα λευκὰ τέτυ-
κται.
Κεῖθι δ' ἀχιλλῆός τε καὶ ἡρώων φάτις ἄλλων
Ψυχὰς εἱλίσσεσθαι ἐρημαίας ἀνὰ βήσσας.
Τοῦτο δ' ἀριστήεσσι διὸς πάρα δῶρον ὀπηδεῖ
Αντ' ἀρετῆς. ἀρετὴ γὰρ ἐπήρατον ἔλλαχε τι-
μήν,
Κιμμέριον

Inſulæ autem deinceps Sporades fuſim elucent:
Ceu quando innubem per aërem cernuntur ſidera,
Pluuias nubes acuto diſpulſante Borea.
Has itē iuxta inſulæ ſunt Ionides: ubi'nam Caunus,
Et Samus iucunda, Pelaſgidis ſedes Iunonis:
Et Chius excelſi Pelinæi ſub pede.
Inde Aeolidarum apparent montes inſularum:
Lesbiq; ſpacioſæ, & amœnæ Tenedi.
Illic Melasq; ſinus ad Helleſpontum cedit
Spumam uomens. At in boream multū tendenti
Volitat hinc inde Propontidis unda maris.
Eſt uerò quædam ſiniſtrum ſuper meatū Euxini
È regione Boryſthenis notiſsima in mari inſula
Heroum: λευκὴν ipſam cognomine dicunt.
Eo quòd ei quæ quidem ſunt animantia, alba exiſtunt.
Illic item Achillisq;: & heroū fabula eſt aliorum
Animas obuerſari deſerta per montiū concaua:
Hoc autem optimates à Ioue donum ſequitur
Pro uirtute: uirtus enim exoptandum meruit honorem.

Κιμμέριον δ' ἄρα τοι διὰ Βοσπόρου εὐθὺς ἰοῦσι
Αλλη ἀπειρεσίη νῆσος πέλει. ἣ ῥά τε λίμνης
Ενδοθι δεξιτερῆ Μαιώτιδος ἐστήρικται.
Ης ἔπι Φαναγόρη τε καὶ εὔκτιτος Ἑρμώνασσα.
Ενθα τε ναιετάουσιν Ἰωνίδος ἔκγονοι αἴης.
Αἱ δὲ μὲν ἀνθρώποισιν ἀγακλέες εἰν ἁλὶ νῆσοι.
Αλλαι δ' ὠκεανοῖο παρὰ ῥόον ἐστεφάνωνται.
Τάων δ' αὖ περίσημον ἐγὼ θέσιν ἐξενέποιμι.
Οππότερον δ' ἀνέμοιο παρὰ σφυρόν ἐστιν ἑκάστη.
Ητοι μὲν ναίουσι βοοτρόφον ἀμφ' Ἐρύθειαν
Ατλαντος περὶ χεῦμα θεουδέες Αἰθιοπῆες,
Μακροβίων υἱῆες ἀμύμονες, οἵ ποθ' ἵκοντο
Γηρύονος μετὰ πότμον ἀγήνορος. αὐτὰρ ἐπ' ἄκρην
Ιερὴν ἣν ἐνέπουσι κάρην ἔμμεν Εὐρωπείης,
Νήσους Ἑσπερίδας, ὅθι κασσιτέροιο γενέθλη,
Αφνειοὶ ναίουσιν ἀγαυῶν παῖδες Ἰβήρων.
Αλλαι δ' ὠκεανοῖο παραὶ Βορεήτιδας ἀκτὰς
Δισσαὶ νῆσοι ἔασι Βρεττανίδες ἀντία ῥήνου.
Κεῖθι γὰρ ὑστατίην ἀπερεύγεται εἰς ἅλα δίνην.
Τάων τοι μέγεθος περιώσιον, οὐδέ τις ἄλλη
Νήσοις ἐν πάσῃσι Βρεττανίσιν ἰσοφαρίζει.

Αγχι

Cimmerium uerò poſt Boſporon rectà eunti
Alia immenſa inſula obuiat, quæ quidē paludem
Intra ad dexteram Mæotidem fulta eſt:
Qua ſuper Phænagoraq́;, & bene ſtructa Hermonaſſa:
Vbi quoq; habitant Ioniæ coloni terræ.
Hæ quidē hominibus inſigniores in mari inſulæ.
Aſt aliæ Oceani per fluxum circumfluæ ſunt:
Harum autem manifeſtum ego ſitum exponam:
Cuiu'nam item uenti ad plantam ſit quælibet.
Scilicent habitant bouipaſtinam per Erythiam
Atlantis circa undam diuini Aethiopes,
Macrobiorum filij innocui, qui olim aduenerunt
Geryonis poſt mortem ſtrenui. uerum ad promontorium
Sacrum, quod perhibent caput eſſe Europæ,
Inſulas Heſperidas, ubi ſtanni genitura,
Diuites tenent illuſtrium filij Iberûm.
Aliæ item Oceani ad borealia littora
Duæ inſulæ ſunt Bretanides, contra Rhenum,
Illic enim extremum euomit in mare gurgitem.
Harum ſanè magnitudo præcipua: neq; ulla alia
Inſulas inter omnes Bretanicis æquipollet.

Αγχι δὲ νησιάδων ἕτερος πόρος, ἔνθα γυναῖκες
Ανδρῶν ἀντιπέρηθεν ἀγαυῶν ἀμνιτάων
Ορνύμεναι τελέθουσι κατὰ νόμον ἱερὰ Βάκχου,
Στεψάμεναι κισσοῖο μελαμφύλλοιο κορύμβοις
Εννύχιαι, παταγῆς δὲ λιγύθροος ὄρνυται ἠχή.
Οὐχ οὕτω θρηΐκες ἐπ' ἠϊόσιν ἀψινθοιο
Βιστονίδες καλέουσιν ἐρίβρομον εἰραφιώτην,
Οὐδ' οὕτω σὺν παισὶ μελανδίνην ἀνὰ γάγγην
Ινδοὶ κῶμον ἄγουσιν ἐριβρεμέτῃ διονύσῳ,
Ως κεῖνον κατὰ χῶρον ἀϋτάζουσι γυναῖκες.
Πολλὴν δὲ προτέρωσε ταμὼν ὁδὸν ὠκεανοῖο,
Νῆσόν κεν θούλην εὐεργέϊ νηῒ περήσαις.
Ενθα μὲν ἠελίοιο βεβηκότος ἐς πόλον ἄρκτων
Ημαθ' ὁμοῦ καὶ νύκτας ἀειφανὲς ἐκκέχυται πῦρ.
Λοξοτέρη γὰρ τῆμος ἐπιστρέφεται στροφάλιγγι
Ακτίνων ἰθεῖαν ἐπὶ κλίσιν ἐρχομενάων,
Μέσφ' ὅτε κυανέους νοτίην ὁδὸν αὖτις ἐλάσσῃ.
Αλλ' ὁπόταν σκυθικοῖο βαθὺν ῥόον ὠκεανοῖο
Νηῒ τάμῃς, προτέρω δὲ πρὸς ἠῶ ἅλα καμψῇς,

Χρυσείην

Iuxta item inſularum alius tractus: ubi mulieres
Hominum è regione illuſtrium Amnitarum
Concitæ perſoluunt iuxta ritum ſacra Baccho,
Coronatæ hederæ nigrifoliæ baccis,
Nocturnæ: ſaltationis autem dulcicrepus exci-tatur ſonitus.
Non ſic Threiciæ iuxta ripas Apſynthi
Biſtonides inclamant multifremum Iraphioten:
Neq; ſic cum liberis atriuorticem circa Gangen
Indi Bacchanalia peragunt ſtrepero Dionyſo,
Sicut illo in loco euge congeminant mulieres.
Multam autem ulterius ſecando uiam Oceani,
Inſulam fortè Thulen fabrefacta naui præterſul-cabis:
Vbi quidem, ſole progreſſo ad polum urſarum,
Per dies ſimul & noctes continuò apparens ef-funditur lumen:
Obliquiore nanq; tunc obuerſatur reuolutione,
Radijs directam ad declinationem uenientibus:
Donec ad Aethiopas auſtrinā uiā rurſ⁹ ſecuerit.
Verùm cum Scythici immēſum fluxum Oceani
Naui ſulcaueris, atq; ulterius ad Eoum mare di-uerteris,

Χρυσείην τοι νῆσον ἄγει πόρος. ἔνθα καὶ αὐτῆς
Ἀντολίης καθαροῖο φαείνεται ἠελίοιο.
Κεῖθεν δὲ στρεφθεὶς νοτίης προπάροιθε κολώνης
Αἶψά κε Κωλιάδος, μεγάλην ἐπὶ νῆσον ἵκοιο
Μητέρα Ταπροβάνην Ἀσιηγενέων ἐλεφάντων.
Ἧς ὕπερ οὐρανίῃσιν ἀειρόμενος στροφάλιγξι
Δινεῖται περὶ κύκλον ἐν αἰθέρι Καρκίνος αἴθων.
Αὕτη δ' εὐρυτάτη μέγεθος πέλει, ἀμφὶ δὲ πάντη
Κήτεα θῖνες ἔχουσιν ἐρυθραίου βοτὰ πόντου
Οὔρεσιν ἠλιβάτοισιν ἐοικότα, τῶν δ' ὑπὲρ ἄκρων
Τετρήχει νώτων ἐριμήκετος ὁλκὸς ἀκάνθης.
Δυσμενέων τοι παῖδες ἑλισσόμενοι περὶ πόντον
Κείνοις αὐτήσειαν ἀλώμενοι. οὐ γὰρ ἐρωὴ
Λυγροῖς ἐν στομάτεσσιν, ἐπεὶ μέγα χάσμα τέτυκται
Πολλάκι δ' αὖ καὶ νῆα σὺν αὐτοῖς ἀνδράσι νηὸς
Κεῖνα καταβρώξειε τεράατα. τοῖς δ' ἀλιτροῖς
Εἰν ἁλὶ καὶ γαίῃ κακὰ μυρία θήκατο δαίμων.
Ἐστι δέ τοι προτέρω Καρμανίδος ἔκτοθεν ἄκρης
Ὠγυγίς, ἔνθά τε τύμβον ἐρυθραίου βασιλῆος.

Ἐκ

Auream ſanè inſulam offert ambitus : ubi etiam ipſius
Oriens clari cernitur ſolis.
Inde uerò conuerſus auſtrinũ ante promontoriũ
Illico quidẽ Colium magnam ad inſulã deuenies
Matrem Taprobanam Aſiagenorũ elephantum:
Quam ſuper cœleſtibus ſublimatus reuolutionibus
Verſatur ſecundũ orbẽ in æthere Cãcer ardẽs.
Hæc item ampliſsima magnitudine eſt: circum autem undiq;
Beluas littora habent, Rubri nutritias ponti,
Mõtib. excelſis ſimiles: harũ uerò ſuper ſummis
Riget dorſis prælongus ductus ſpinæ.
Immanium utiq; filij agitati per pontum
Illis obuianto deuij: non enim effugium
Duris in faucibus, ſiquidẽ ingens rictus exiſtit.
Sæpenumero autem tum etiam nauem cum ipſis hominibus nauis
Illa abſorbuiſſẽt mõſtra: etenim præuaricatorib.
In mari & terra mala plurima ſtruxit deus.
Eſt item ulterius Carmaniũ ante promontorium
Ogyris: ibiq; ſepulchrum Erythræi regis.

Ἐκ τῆς δ' αὖ περάσειας ἐπὶ στόμα περσίδος ἅλμης
Ὁρμηθεὶς Βορέηνδε, καὶ Ἴκαρον εἰσαφίκοιο,
Ἴκαρον εἰναλίην, ὅθι ταυροπόλοιο θεοῖο
Βωμοὶ κνισσήεντες ἀδευκέα καπνὸν ἔχουσι.
Τόσσας μὲν νήσους ἐπέχει ῥόος ὠκεανοῖο
Εὐρυτέρας. ἕτεραι δὲ ἀπειρέσιοι γεγάασιν,
Αἱ μὲν ἐπὶ προχοῇσι λιβυστίδος ἀμφιτρίτης,
Αἱ δ' ἀσίης, αἳ δ' αὖ τε περὶ κλίσιν εὐρωπείης.
Ἄλλαι δ' ἄλλοθι νῆσοι ἀπείριτοι. αἱ μὲν ὑπ' ἀνδρῶν
Ναιόμεναι καὶ νηυσὶν ἐπήρατον ὅρμον ἔχουσαι,
Αἱ δὲ βαθύκρημνοί τε καὶ οὐ ναύτῃσιν ἑτοῖμαι.
Τῶν οὐ ῥηΐδιόν μοι ἐνισπεῖν οὔνομα πασέων.
Σχῆμα δέ τοι ἀσίης, ῥυσμὸς τελέει ἀμφοτέρων
Ἠπείρων ἑτέρωθεν, ἀλίγκιον εἴδεϊ κώνου,
Ἑλκόμενον κατὰ βαιὸν ἐπ' αὐτολίης μυχὰ πάσης.
Ἔνθα τε καὶ στῆλαι θηβαιγενέος διονύσου
Ἑστᾶσιν πυμάτοιο παρὰ ῥόον ὠκεανοῖο,
Ἰνδῶν ὑστατίοισιν ἐν οὔρεσιν. ἔνθα τε γάγγης

Λευκὸν

Ex hac autem ſolueris ad oſtium Perſici ſali
Remigando boream uerſus, atq; Icarũ appuleris,
Icarum marinam: ubi ſub tauri ſpecie cultæ deæ
Aræ nidoroſæ acerbum fumum habent.
Tot quidem inſulas continet fluxus Oceani
Patentiores: aliæ tamen innumeræ exiſtunt:
Hæ quidem in profluuijs Libyci maris,
Illæ uerò Aſiæ, quædam item circa flexum Europæ:
Aliæ inquam alibi inſulæ infinitæ, hæ quidẽ ab hominibus
Frequentatæ, atq; nauibus exoptatũ portum habentes,
Illæ uerò præruptæq;, & minimè nautis opportunæ:
Quarũ non facile mihi referre nomẽ omnium.
Porrò figura Aſiæ forma eſt ambarum
Continentum ab altera parte, ſimilis imagini coni,
Protracta permultum in oriẽtis receſſum totius:
Vbi etiamnum columnæ Thebis geniti Bacchi
Stant extremi iuxta fluxum Oceani,
Indorum ultimis in montibus: ubi & Ganges

Λευκὸν ὕδωρ νυσαῖον ἐπὶ πλαταμῶνα κυλίνδει.
Αλλ' οὐκ αὖ τόσσον μέγεθος πέλει ἀσίδος αἴης,
Οὐδὲ μὲν εἶδος ἔοικεν ἀλίγκιον. ἐν γὰρ ἐκείναις
Ηπείροις εἷς πόντος ἀπείριτος ἡγεμονεύει.
Εν δ' ἀσίῃ πολὺς ὠκεανὸς, τρισσοὺς δ' ἑλίσσων
Κόλπους κυμαίνοντας ὀρεύγεται ἔνδοθι βάλλων,
Περσικὸν, ὑρκάνιόν τε καὶ ἀῤῥάβιον βαθυδίνην.
Τοὺς δύο μὲν νοτίους, τὸν δ' ἐς βορέην ὁρόωντα,
Εἰς βορέην ὁρόωντα καὶ ἐς λίβα, γείτονα πόντου
Εὐξείνου. τόθι φῶτες ἀπείριτοι ἀμφινέμονται.
Μέσσον δ' ἀμφοτέρων χθονὸς ἄσπετος ἰσθμὸς ὀρίζει
Τῇ καὶ τῇ μακροῖσι τιταινόμενος πεδίοισι.
Μέσσα γε μὴν πάσης ἀσίης ὄρος ἀμφιβέβηκεν,
Αρξάμενον γαίης παμφυλίδος ἄχρι καὶ ἰνδῶν.
Αλλοτε μὲν λοξόν τε καὶ ἀγκύλον, ἄλλοτε δ' αὖτε
Ιχνεσιν ὀρθότορον. ταῦρον δέ ἑ κικλήσκουσιν,
Οὕνεκα ταυροφανές τε καὶ ὀξυκάρηνον ὁδεύει,
Οὔρεσιν ἐκταδίοισι πολυσχιδὲς ἔνθα καὶ ἔνθα.
Εκ τοῦ ἀπειρέσιοι ποταμοὶ καναχηδὸν ῥέουσιν,

Οἱ μὲν

Claram aquam Nyſſæam ad planiciem mariti-
mam deuoluit.
Sed nec tãta magnitudo eſſe poteſt Aſiæ terræ,
Neq; quidẽ forma apparet ſimilis: quippe in illis
Cõtinẽtibus unicus põtus infinitus dominatur:
At in Aſia multus Oceanus: tres ſiquidẽ uolutãs
Sinus æſtuantes effundit intrò mittens,
Perſicum, Hyrcanium, & Arabicũ uorticoſum:
Duos quidem auſtrinos, tertium uerò in Boream
ſpectantem,
In Boream ſpectantem & Libem, uicinum põti
Euxini: ubi uiri innumeri accolunt.
Medium uerò amborum terræ ingens Iſthmus
terminat,
Hinc inde longis productus campis.
Media certè totius Aſiæ mons occupat,
Orſus à terra Pamphylia etiam uſq; ad Indos:
Interdum quidem curuusq; & flexuoſus, inter-
dum uerò rurſus
Veſtigijs directior: Taurũ uerò ipſum nominant,
Eo quòd tauriq; inſtar, & elato capite incedit,
Montibus porrectus multifidus hinc inde.
Ex quo innumeri amnes cum murmure fluunt,
Hi

Οἱ μὲν πρὸς Βορέην, οἱ δ' ἐν νότον, οἱ δ' ἐπὶ ῥιπὴν
Εὔρου καὶ ζεφύροιο. τίς ἂν πάντ' ὀνόματ' εἴπῃ;
Οὐ μὲν ἐπωνυμίην μίαν λάχεν, ἀλλ' ἐν ἑκάστῃ
Οὔνομ' ἔχει στροφάλιγγι. τὰ δ' ἂν κείνοισι μέλοιτο
Ἀνδράσιν, οἳ κείνην χώραν ὁμούριον οἶκον ἔθεντο.
Νῦν γε μὲν ἔθνεα πάντα διίξομαι, ὅσσ' ἀείδελα
Ἐνναίει. Μοῦσαι δ' ἰθὺν ταχὺν ἴχνος ἄγοιεν.
Ἤτοι μὲν λίμνης μαιώτιδος ἄγχι νέμονται
Αὐτοὶ μαιῶταί τε, καὶ ἔθνεα σαυροματάων
Ἐσθλὸν γυναλίου γένος ἄρεος. ἐκ γὰρ ἐκείνης
Ἰφθίμου φιλότητος ἀμαζονίδων ἐγένοντο
Τήν ποτε σαυρομάτῃσιν ἐπ' ἀνθρώποισι μίγησαν
Πλαγχθεῖσαι πάτρηθεν ἀπὸ πτόλεος θερμώδοντος.
Τοὔνεκα καὶ παίδων μεγαλήτορες ἐξεγένοντο,
Ὕλην ναιετάοντες ἀπείριτον. ἧς διὰ μέσσης
Συρόμενος τάναϊς μαιώτιδος ἐν μυχὰ πίπτει.
Ὅς τε καὶ εὐρώπην ἀποτέμνεται ἀσίδος αἴης,
Ἐς δύσιν εὐρώπην, ἐς δ' αὐγὰς ἀσίδα γαῖαν.
Τοῦ δ' ἤτοι πηγαὶ μὲν ἐν οὔρεσι καυκασίοισι

Hi quidem ad boream, illi uerò in auſtrum, quidam item ad plagam
Euri & Zephyri: quis omnia nomina retulerit?
Nec certè cognomentum unicum indeptus eſt, uerùm in quolibet
Nomen habet anfractu: hæc autē illis curæ ſint
Hominibus, qui ſecundum regionem uicinam domum poſuere.
Nunc igitur gētes omnes perſtringam quotquot (inſigniores
Incolunt: muſæ uerò rectiſsimam ſemitam dirigant precor.
Scilicet paludi Mæotidi uicinè degunt
Ipſi Mæotæq́; & gentes Sauromatum,
Strenuum ferocis genus Martis: nam ex illo
Virili concubitu Amazonidum geniti ſunt,
Quē olim Sauromatas inter homines miſcuerūt
Vagatæ è patria procul à Thermodonte:
Quare etiam filij magnanimi prognati ſunt,
Syluam habitātes immenſam: quam per mediam
Volutus Tanais Mæotidis in ſinum labitur:
Qui etiamnum Europam ſecernit ab Aſia terra,
In occaſum Europā, at in ortum Aſiam terram.
Huius item fontes quidem in mōtibus Caucaſijs

Porrò

Τηλόθι μορμύρουσιν. ὁ δὲ πλατὺς ἔνθα καὶ ἔνθα
Εστυμένος σκυθικοῖσιν ἐπὶ προχέει πεδίοισι.
Τοῦ δ' αὖ κυμαίνοντος ἀπείριτον ἐκ βορέαο
Πηγετὸν ἀθρήσειας ὑπὸ κρυμμοῖο παγέντα.
Σχέτλιοι, οἳ περὶ κεῖνον ἐν οἰκία χῶρον ἔχουσιν.
Αἰεί σφι ψυχρή τε χιὼν κρυμμός τε δυσαής.
Καὶ δέ κεν ἐξ ἀνέμων ὁπόταν πλεῖστον κρύος
ἔλθῃ
Ἵππους θνήσκοντας ἐν ὀφθαλμοῖσιν ὁρῶντι,
Ἠὲ καὶ ἡμιόνους ἢ ἀγραύλων γένος οἰῶν.
Οὐδὲ μὲν οὐδ' αὐτοί κεν ἀπήμαντοι τελέθοιεν
Ἀνδρῶν, οἳ κείνῃσιν ὑπὸ ῥιπῇσι μένοιεν.
Ἀλλὰ γὰρ ἠλάσκουσιν ὑποζεύξαντες ἀπήνας
Χώρην εἰς ἑτέρην, λείπουσι δὲ γαῖαν ἀήταις
Χειμερίοις. οἵ τέ σφι κακῇ θύοντες ἀέλλῃ
Γαῖάν τε κλονέουσι καὶ οὔρεα πευκήεντα.
Τόσσοι μὲν ποταμὸν τάναϊν περιναιετάουσι.
Σαυρομάτας δ' ἐπέχουσιν ἐπασσύτεροι γεγα-
ῶτες
Σινδοί, κιμμέριοί τε, καὶ οἳ πέλας εὐξείνοιο
Κερκέτιοί τ' ὀρέται τε, καὶ ἀλκήεντες ἀχαιοί,
Τούς ποτ' ἀπὸ ξάνθοιο καὶ ἰδαίου σιμόεντος
Γνοιαὶ ἐνοσφίσαντο νότοιό τε καὶ ζεφύροιο,

Εασσομένους

Porrò murmurant: hic uerò uaſtus, hinc inde
Impulſus, Scythicos illabitur campos.
Cuius etiã uiolẽto impetu ruẽtis immẽſe è borea
Glaciem uidiſſes ſub frigore conſtrictam.
Miſeri, qui circa illum domicilia locũ inhabitãt.
Perpetuò illis gelidaq; nix, frigus'que peſtiferè flans.
Atq; item è uentis cum plurimum frigus uenerit,
Aut equos morientes ante oculos cernunt,
Aut etiam mulos, aut agriſtabularũ genus ouiũ.
Neq; quidem uel ipſi illæſi eſſe poſſunt
Homines, qui illis ſub oris manerent.
Verùm enimuero aufugiunt ſubornatis rhedis
Regionem in alteram: linquunt autẽ terram flatibus
Hybernis, qui etiamnũ maligno furẽtes turbine
Terramq; perſtrepunt, & montes piniferos.
Tot ſanè fluuium Tanain accolunt.
Sauromatas uerò attingũt populoſiores exiſtẽtes
Sindi, Cimmeriiq;, & qui prope Euxinum
Cercetiiq;, Oretæq;, & robuſti Achæi,
Quos olim à Xantho & Idæo Simoente
Flabra ſeduxerunt Notiq; & Zephyri,

Comitantes

Εσπομένους μετὰ δῆριν ἀρηϊφίλῳ βασιλῆϊ.
Τοῖς δ' ἐπὶ ναιετάουσιν ὁμούριον αἶαν ἔχοντες
Ἡνίοχοι, ζύγιοί τε, πελασγίδος ἔκγονοι αἴης.
Πὰρ δὲ μυχὸν πόντοιο μετὰ χθόνα τυνδαρειδάων
Κόλχοι ναιετάουσι μετήλυδες αἰγύπτοιο,
Καυκάσου ἐγγὺς ἐόντες, ὃς ὑρκάνιον περὶ πόντον
Οὔρεσιν ἠλιβάτοισιν ἀέξεται. ἔνθα τε φᾶσις
Κιρκαίου διὰ νῶτον ἑλισσόμενος πεδίοιο
Εὐξείνου ποτὶ χεῦμα θολὴν ἀπερεύγεται ἄχνην,
Ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο.
Τοῦ δὲ πρὸς ἀντολίην βορέην τ' ἐπικέκλιται ἰσθμός,
Ἰσθμὸς κασπίης τε καὶ εὐξείνοιο θαλάσσης.
Τῷ δ' ἐπὶ ναιετάουσιν ἑωθινὸν ἔθνος ἰβήρων,
Οἵ ποτε πυρρήνηθεν ἐπ' ἀντολίην ἀφίκοντο,
Ἀνδράσιν ὑρκανίοισιν ἀπεχθέα δῆριν ἔχοντες.
Καὶ καμαρειτάων φῦλον μέγα, τοί ποτε βάκχον
Ἰνδῶν ἐκ πολέμοιο δεδεγμένοι ἐξείνισσαν,
Καὶ μετὰ ληναίων ἱερὸν χορὸν ἐστήσαντο,
Ζώματα καὶ νεβρίδας ἐπὶ στήθεσι βαλόντες,

Εὐοῖ

Comitantes poſt bellum Aretiaden *regem.*
Hos *item iuxta habitant uicinam terram tenẽtes*
Heniochi, Zygijq́; Pelaſgidis *coloni terræ.*
Verùm *ad ſinum* Põti, *poſt ſolũ* Tyndaridarum,
Colchi *degunt aduenæ* Aegypti,
Caucaſo *uicinè exiſtentes, qui* Hyrcanium *circa pontum*
Montibus celſis excreſcit: ibiq́; Phaſis
Circæi *per planiciem prouolutus campi*
Euxini *in fluxum rapidam euomit ſpumam,*
Ortus primùm è monte Armenio.
Huius autem ad orientem boreamq́; incumbit Iſthmus,
Iſthmus Caſpijq́; *&* Euxini *maris:*
Hoc uerò ſuper habitãt orientalis gens Iberûm,
Qui olim è Pyrene *ad orientem demigrarunt,*
Hominibus Hyrcanijs *hoſtilem pugnam committentes.*
Etiam Camaritarum *natio magna, qui quondam* (Bacchum
Indorum *è bello excipientes hoſpitati ſunt,*
Atq; cum Bacchidibus *diuinũ chorũ duxerunt,*
Cingulos & hinnulorum pelles pectoribus inijcientes,

Εὐοῖ Βάκχε λέγοντες. ὁ δὲ φρεσὶ φίλα δαί-
μων
Κείνων ἀνθρώπων γενεὴν καὶ ἤθεα γαίης.
Τοῖς δ' ἐπὶ Κασπίη κυμαίνεται ἀμφιτρίτη.
Ῥεῖα δέ τοι καὶ τήνδε διαγράψαιμι θάλασσαν.
Οὐ μὲν ἰδὼν ἀπάνευθε πόρους, οὐ νηὶ περήσας,
Οὐ γάρ μοι βίος ἐστὶ μελαινάων ἐπὶ νηῶν,
Οὐδέ μοι ἐμπορίη πατρώϊος, οὐδ' ἐπὶ Γάγγην
Ἔρχομαι, οἷά τε πολλοί, ἐρυθραίου διὰ πόντου,
Ψυχῆς οὐκ ἀλέγοντες, ἵν' ἄσπετον ὄλβον ἕλων-
ται.
Οὐδὲ μὲν ὑρκανίοις ἐπιμίσγομαι, οὐδ' ἐρεείνω
Καυκασίας κνημῖδας ἐρυθραίων ἀριηνῶν.
Ἀλλά με μουσάων φορέει νόος, αἵ τε δύνανται
Νόσφιν ἀλημοσύνης πολλὴν ἅλα μετρήσα-
σθαι,
Οὔρεά τ' ἤπειρόν τε καὶ αἰθερίην ὁδὸν ἄστρων.
Ἀλλ' εἴη τοι σχῆμα περίδρομον ἀμφελικτὸν
Πάσης Κασπίης μεγάλης ἁλὸς, οὐκ ἂν ἐκείνην
Νηὶ περήσειας τριτάτης ἐπὶ κύκλα σελήνης.
Τόσσος γὰρ πόρος ἐστὶν ἀμείλιχος. ἂψ δὲ μετ'
ἄρκτους
Ἑλκόμενος προχοῆς ἐπιμίσγεται ὠκεανοῖο.

Ἡ δὴ

Euœ Bacche clamantes: ipſe uerò animo amplexus eſt deus
Illorum hominũ indolẽ, & conuerſationes loci.
Hos uerò iuxta Caſpia fluctuant Amphitrite.
Facile autem & hoc depinxerim mare,
Nec quidem conſpicatus porrò meatus, nec naui permenſus:
Non enim mihi uita eſt picatis in nauibus,
Neq; mihi mercatura patria, neq; ad Gangem
Venio, ut multi, Rubrum per pontum,
Animæ prodigi, quò immẽſas diuitias cumulent:
Neq; quidem Hyrcanijs cõgredior, neq; ueſtigo
Caucaſios inuios ſaltus rubeorum Arianorum:
Verùm me muſarum agitat mens, quæ quidem poſſunt
Citra oberrantiam magnum mare metiri,
Monteſq;, terramq;, & ætheriũ curſum ſiderũ.
At eſto ſanè forma circumuia undiq; remigabilis
Totius Caſpij ampli maris, uix quidem illud
Naui tranabis tertiæ ad orbes lunæ:
Tantus nanq; meatus eſt immanis. retro autem ad arctos
Protractus profluuijs commiſcetur Oceani.

Ἦ δὴ πολλὰ μὲν ἄλλα μετ' ἀνδράσι θαύματ' ἀέξει.
Φύει μὲν κρύσταλλον, ἰδ' ἠερόεσσαν ἴασπιν
Ἐχθρὴν ἐμπτώσῃσι καὶ ἄλλοις εἰδώλοισι.
Πάντα δέ τοι ὀρέων ὅσα μιν ποτὶ φῦλα νέμονται,
Ἀρξάμενος πλευρῆς ζεφυρήτιδος ἐκ Βορέαο.
Πρῶτοι μὲν Σκύθαι εἰσίν, ὅσοι Κρονίης ἁλὸς ἄγχι
Παραλίην ναίουσιν ἀνὰ στόμα Κασπίδος ἅλμης.
Οὖννοι δ' ἑξείης. ἐπὶ δ' αὐτοῖς Κάσπιοι ἄνδρες.
Ἀλβανοί τ' ἐπὶ τοῖσιν ἀρήιοι. οἵθ' ὑπὲρ αἶαν
Τρηχεῖαν ναίουσι Καδούσιοι. ἄγχι δὲ Μάρδοι,
Ὑρκάνιοί τ' Ἄπυροί τ', ἐπὶ δὲ σφίσιν ὁλκὸν ἑλίσσει (Βάκτρων,
Μάρδος, Δρηκεβίων τε καὶ ἀφνειῶν πόμα
Ἀμφοτέρων γὰρ μέσος ἐν Ὑρκανίην ἅλα βάλλει.
Ἀλλ' ἤτοι Βάκτροι μὲν ἐπ' ἠπείροιο νέμονται
Χώρην εὐρυτέρην Κρημνοῖς ὑπὸ Παρνησοῖο.
Δρηκέβιοι δ' ἑτέρωθεν ἐφ' ὕδασι Κασπίοισι.
Τοὺς δὲ μετ' αὐτολίην δὲ πέρην Κελάδοντος Ἀράξεω
Μασσαγέται ναίουσι θοῶν ῥυτῆρες ὀϊστῶν,

Ἄνδρες

Quod certe multa quidem uaria apud homines mira producit:
Gignit ſanè Cryſtallum, atq; uiridem Iaſpin
Infeſtam Empuſis & alijs terriculamentis.
Omnes autem tibi refero quotquot ipſum gentes circumhabitant,
Orſus à latere occidentali è borea.
Primi quidem Scythæ ſunt, qui Cronio mari uicinè
Maritimam tenent circa oſtium Caſpij ſali:
Vnni item deinceps: prope ipſos aũt Caſpij uiri:
Albaniq; ſub hos martij: quiq; ſuper terram
Aſperam degunt Caduſij: propè item Mardi,
Hyrcanijq;, Apyriq;: iuxta uerò ipſos ductum deuoluit (ctrorum:
Mardus, Dercebiorumq;, & diuitum potio Ba-
Amborum nanq; medius in Hyrcaniũ mare ruit.
At uerò Bactri quidẽ ſuper interraneò habitant
Regionem latiorem, ſub rupibus Parneſi:
Dercebij aũt ab altero latere ad undas Caſpias.
Hos uerò poſt orientem uerſus trans ſtridulum Araxen
Maſſagetæ degunt ualociũ excuſſores telorum:

Ανδρῶν οἷς μήτ' αὐτὸς ἐγὼ, μήθ' ὅς τις ἑταῖρος
Εμπελάσοι. μάλα γάρ τε κακοξεινότεροι ἄλ-
λων.
Οὐ γάρ σφιν σίτοιο μελίφρονός ἐστιν ἐδωδὴ,
Οὐδὲ μὲν οὐδ' οἶνος μεταδήμιος, ἀλλὰ γὰρ
ἵππων
Αἵματι μίσγοντες λευκὸν γάλα δαῖτα τίθενται.
Τοῖς δ' ἐπὶ πρὸς βορέην Χωράσμιοι, οἷς ἐπὶ γαῖα
Σογδιὰς. ἧς διὰ μέσσον ἑλίσσεται ἱερὸς ὦξος,
Ος τε λιπὼν ἠμωδὸν ὄρος, μετὰ κασπίδα
βάλλει.
Τὸν μετ' ἐπὶ προχοῇσιν ἰαξάρταο νέμονται
Τόξα σάκαι φορέοντες, ἃ μή κέ τις ἄλλος ἐλέγ
χοι
Τοξευτὴς, οὐ γάρ σφι θέμις ἀνεμώλια βάλλειν,
Καὶ τόχαροι, φροῦροί τε, καὶ ἔθνεα βάρβαρα ση
ρῶν,
Οἵ τε βόας μὲν ἀναίνονται καὶ ἴφια μῆλα,
Αἰόλα δὲ ξαίνοντες ἐρήμης ἄνθεα γαίης
Εἵματα τεύχουσι πολυδαίδαλα τιμήεντα
Εἰδόμενα χροιῇ λειμωνίδος ἄνθεσι ποίης.
Κείνοις οὔτι κεν ἔργον ἀραχνάων ἐρίσειεν.
Αλλοι δὲ σκύθαι εἰσὶν ἐπήτριμοι, οἵ τε νέμονται
Εσχατιὰς,

Viri quibus neq; egomet, neq; quiſquis ſodalis
Incidiſſet: multo nanq; in aduenas crudeliores
ſunt alijs. (cibus,
Nec enim ipſis frumenti animum mitigantis eſt
Neq; ſanè uel uinum indigenũ: cæterũ equorum
Sanguini miſcẽtes candidũ lac conuiuiũ parant.
Hos autem iuxta ad boreã Choraſmij: quos pro-
pe terra (Oxus,
Sugdiana: cuius per medium uoluitur immenſus
Qui linquens Emodum montem in Caſpium la-
bitur.
Quem poſt iuxta profluuia Iaxartæ degunt
Arcus Sacæ geſtantes, quos ne quis alius impro
baret (culari:
Sagittator: non enim ipſis fas eſt aberranter ia-
Et Tochari, Phruriq;: & gẽtes barbaræ Serum,
Qui boues quidem faſtidiũt & citigrados oues:
Varios autem depectentes incultæ flores terræ
Veſtes concinnant artificioſas, precioſas,
Similes colore pratenſis floribus herbæ.
Illis nequicquam ſtructura aranearum concerta
uerit.
Alij item Scythæ ſunt continui, qui occupant

Ἐσχατιάς, περὶ δέ σφι δυσήνεμος ἐκτέταται
χθὼν
Χειμερίοις ἀνέμοισι κεκλιμένη ἠδὲ χαλάζαις.
Τόσσοι μὲν φατὸν περὶ Κάσπια κύματ' ἔασι.
Φράζεο δ' ἐκ Κόλχων καὶ Φάσιδος εἰς δύσιν
ἤδη
Εὐξείνου παρὰ χεῖλος ἐπιλαδὸν ἔθνεα πόντου,
Ἄγχι Θρηϊκίου στόματος, τόθι Χαλκὶς ἄρουρα.
Βίζηρές τοι πρῶτα καὶ ἀγχόθι φῦλα Βεχείρων,
Μάκρωνές τε, Φίλυρές τε, καὶ οἳ μόσυνας ἔχουσι
Δουράτεους. τῶν δ' ἄγχι πολύῤῥηνες Τιβαρηνοί.
Τοῖς δ' ἐπὶ καὶ Χάλυβες στυφελὴν καὶ ἀπηνέα
γαῖαν
Ναίουσι, μογεροῦ δεδαηκότες ἔργα σιδήρου,
Οἵ ῥα βαρυγδούποισιν ἐπ' ἄκμοσιν ἑστηῶτες
Οὔ ποτε παύονται καμάτου καὶ ὀϊζύος αἰνῆς.
Τοὺς δὲ μετ' Ἀσσυρίης πρόχυσις χθονὸς ἐκτετά-
νυσται.
Ἔνθα δ' Ἀμαζονίδεσσιν ἀπ' οὔρεος Ἀρμενίοιο
Λευκὸν ὕδωρ προΐησιν ἑλισσόμενος Θερμώδων.
Ὅς ποτ' ἀλωομένην Ἀσωπίδα δέκτο Σινώ-
πην, (ρη,
Καί μιν ἀκηχεμένην σφετέρη παρενάσατο χώ
Ζηνὸς

Oras: circum uerò ipſos uentis infeſtata diſtenta eſt tellus,
Hybernis flabris occluſa atq; grandinibus.
Tot quidẽ gentes circum Caſpias undas degũt.
Obſerua autem è Colchis & Phaſide in occidentem iam
Euxini iuxta littus conſtipatim gentes Ponti,
Vſq; in Thracium oſtium, ubi Chalcis tellus.
Bizeres quidẽ primũ: ac uicinè gẽtes Bechirorũ
Macrones, Philyres: & qui turres tenent
Ligneas. hos uerò iuxta pecoroſi Tibareni.
Quos prope etiam Chalybes duram & difficilem terram
Habitant laborioſi periti fabricas ferri:
Qui quidẽ grauiſonas iuxta incudes aßiſtentes,
Nunquam ceſſant à labore & ærumna dura.
Hos autem poſt Aſſyriæ procurſus terræ extentus eſt:
Vbi item Amazonidibus è monte Armenio
Claram aquam immittit martius Thermodon:
Qui quondam errabundam Aſopi filiam excepit Sinopen,
Atq; ipſam mœſtam ſuæ allocauit regioni,

Ζηνὸς ἐφημοσύνῃσιν. ὁ γὰρ φιλότητος ἐραννῆς
Ιχνεύων, πάτρης ἀπονόσφισεν οὐκ ἐθέλουσαν.
Εκ τοῦ καὶ πτολίεθρον ἐπώνυμον ἄνδρες ἔχουσιν.
Κείνου δ' αὖ ποταμοῖο παρὰ κρημνώδεας ὄχθας
Τέμνοις κρυστάλλου καθαρὸν λίθον, οἷά τε πάχνην
Χειμερίην, δήεις δὲ καὶ ὑδατόεσσαν ἴασπιν.
Ιρις δ' ἀρζείης καθαρὸν ῥόον εἰς ἅλα βάλλει.
Τῷ δ' ἐπὶ μορμύρουσι ῥοαὶ ἅλυος ποταμοῖο,
Ελκόμεναι Βορέηνδε καραμβίδος ἐγγύθι ἄκρης,
Αρξάμεναι τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο.
Παφλαγόνες δ' ἐπὶ τῇσιν ἐπ' ἠιόνεσσι νέμονται,
Καὶ μαριανδυνῶν ἱερὸν γένος. ἔνθ' ἐνέπουσιν
Οὐδαίου κρονίδαο μέγαν κύνα χαλκεόφωνον,
Χερσὶν ἀνελκόμενον μεγαλόφρονος ἡρακλῆος,
Δεινὸν ἀπὸ στομάτων βαλέειν σιαλώδεα χυλόν,
Τὸν μὲν δέξατο γαῖα καὶ ἀνδράσι πήματ' ἐφύτευσεν.
Αγχι δὲ Βιθυνοὶ λιπαρὴν χθόνα ναιετάουσι.
Ῥήβας, ἔνθ' ἐρατεινὸν ἐπὶ προχέησι ῥέεθρον,

Ῥήβας,

Iouis imperijs: hic enim concubitum amabilem
Affectans, patria abduxit inuitam: (*bitant.*
A qua etiam oppidum cognominatũ homines ha
Illius autem fluuij in frigidis ripis
Secuiſſes Cryſtalli lucidum lapidem, ueluti glaciem
Hybernam: inuenies certè etiam uiridem Iaſpin.
Iris autem deinceps purum fluentum in mare mittit:
Quem prope murmurant undæ ἅλυ© fluuij
Tractæ boream uerſus Carambin ad promontorium,
Exortæ primùm è monte Armenio.
Paphlagones autem iuxta has ad ripas degunt,
Et Mariandynorũ diuinum genus: ubi perhibẽt
Terreſtris Saturnidæ ingentem canem, æneam uocem habentem,
Manibus diſtractum animoſi Herculis,
Grauiter è faucibus iecisse craſſam ſpumam:
Quam quidem concepit terra, & hominibus peſtem plantauit.
Prope autem Bithyni pinguem terram colunt:
Rhebas ubi amœnum intromittit fluentum,

Rhebas,

Ῥήβας, ὃς πόντοιο παρὰ στομάτεσιν ὁδεύει,
Ῥήβας, οὗ κάλλιστον ἐπὶ χθονὶ σύρεται ὕδωρ.
Τόσσοι μὲν πόντοιο περικτίται ἄνδρες ἔασι.
Κεῖνα δέ τοι σκυθίων περιλελεγμένα φῦλα πα-
λέσθω.
Νῦν δ' αὖ παραλίης ἀσίης πόρον ἐξενέποιμι,
Ὃς ῥά τε πρὸς νότον εἶσιν ἐφ' ἑλλήσποντον ὁ-
δεύων,
Καὶ ποτὶ μηκίστης νότιον ῥόον αἰγαίοιο,
Μέσφ' αὐτοῦ συρίης τε καὶ ἀρραβίης ἐρατεινῆς.
Χαλκιδέες μὲν πρῶτα παρὰ στόμα γαῖαν ἔχουσι,
Οὖδας ἐς ἀντιπέρην βυζάντιον εἰσορόωντες.
Βέβρυκες ἐπὶ τοῖσι, καὶ οὔρεα μυσίδος αἴης.
Ἧχι περ ἱμερόεντα κίος προΐησι ῥέεθρα.
Τοῦ ποτ' ἐπὶ προχοῇσιν ὕλαν ἀπενόσφισε νύμ-
φη
Ὀτρηρὸν θεράποντα πελωρίου ἡρακλῆος.
Ἔνθεν ἐς ἑλλήσποντον ἐπιτρέχει ἄσπετος ἀγκὼν
Βαιοτέρης φρυγίης. ἑτέρη δέ τοι ἔνδοθι κεῖται
Εὐρυτέρη γεγαυῖα παρ' ὕδασι σαγγαρίοιο.
Ἀλλ' ἤτοι μεγάλη μὲν ἐπ' ἀντολίην τετάνυσται,
Ἱππόβοτος λιπαρή τε. πρὸς δ' ἑσπέριον δ' αὖ
ἴδυιο

Τὴν

Rhebas, qui ponti apud oſtia uiam ſecat,
Rhebas, cuius pulcherrima ſuper terra uoluitur unda.
Tot quidem ponti accolæ homines ſunt.
Illæ autem Scythiorũ enumeratæ gentes ſunto.
Nunc item maritimæ Aſiæ meatum exponam:
Qui quidem in auſtrum cedit ad Helleſpontum tendens,
Etiam ad productiſsimi auſtrinũ fluxum Aegæi,
Vſq; ad ipſam Syriamq́; & Arabiam amabilem.
Chalcidenſes quidem primum prope oſtium terram tenent,
Solum in tranſmarinum Byzantium aſpectantes.
Bebryces ad hos: & montes Myſiæ terræ:
Vbi quidem dulces Cius profundit liquores:
Cuius olim iuxta fluenta Hylam rapuit nympha
Fidum comitem grandis Herculis.
Hinc in Helleſpontũ accurrit immẽſus angulus
Minoris Phrygiæ: altera uerò internè iacet,
Latior exiſtens, iuxta fluenta Sangari.
Verùm magna quidem in orientem extenta eſt,
Equipaſtina, pinguiſq́;: ad ueſperũ autem cernes
Alteram,

τὴν ἑτέρην, ἣ κεῖται ὑπὸ ζαθέας πόδας ἴδης,
Ιλιον ἠνεμόεσσαν ὑπὸ πλευρῇσιν ἔχουσα,
Ιλιον ἀγλαὸν ἄστυ παλαιγενέων ἡρώων,
Ιλιον, ἣν ἐπόλισε ποσειδάων καὶ ἀπόλλων,
Ιλιον, ἣν ἀλάπαξαν ἀθηναίη τε καὶ ἥρη,
Ξάνθῳ ἐπ' εὐρὺ ῥέοντι καὶ ἰδαίῳ σιμόεντι.
Τὴν δὲ μετ' αἰολίδος παραπέπταται ἤθεα γαίης,
Αἰγαίου παρὰ χεῖλος ὑπὲρ μέγαν ἑλλήσποντον.
Τῇ δ' ἐπὶ ναιετάουσιν ἀγαυῶν παῖδες ἰώνων,
Αγχιάλου γεγαῶτες ἐπὶ χθονός. ἧς διὰ μέσσης
Μαίανδρος λιπαρῇσι κατέρχεται εἰς ἅλα δίναις
Μιλήτου τε μεσηγὺ καὶ εὐρυχώροιο πριήνης,
Τάων ἀμφοτέρων γε βορειοτέρην ἐσίδοιο
Παραλίην ἔφεσον μεγάλην πόλιν ἰοχεαίρης.
Ενθα θεῇ ποτὲ νηὸν ἀμαζονίδες τετύκοντο,
Πρέμνῳ ἐνὶ πτελέης, περιώσιον ἀνδράσι θαῦμα.
Μηονίη δ' ἐπὶ τῇσιν ἐπ' ἀντολίην τετάνυσται
Τμώλῳ ὕπ' ἠνεμόεντι. τόθεν πακτωλὸς ὁδεύων
Χρυσὸν ὁμοῦ δίνῃσιν ἐφελκόμενος κελαρύζει.

Alteram, quæ ſita eſt ſubter diuinæ radices Idæ,
Ilium excelſam ſub lateribus continens,
Ilium inſignem urbem ueterum heroum,
Ilium, quam condidit Neptunus & Apollo,
Ilium, quam euerterunt Mineruaq; & Iuno,
Xanthũ iuxta latè fluentẽ, & Idæũ Simoëntem.
Hanc autem poſt Aeoliæ adiacent ſedes terræ,
Aegæi iuxta littus, ſuper magnũ Helleſpontum.
Hanc item poſt habitant illuſtrium ſoboles Io-
num,
Maritima degentes ſuper terra: quam per me-
diam
Mæandrus fœcundis deſcendit in mare uortici-
bus,
Miletumq; inter & ſpacioſam Prienam:
Quibus ambabus ſeptentrionaliorem aſpicies
Maritimam Epheſum, præclarã urbem Dianæ:
Vbi Deæ quondã ædẽ Amazonides ſtruxerunt
Fundamento in ulmi, præcipuum hominibus mi-
raculum.
Meonia autem prope has ad orientem extẽta eſt,
Tmolo ſub excelſo: unde Pactolus procedens
Aurũ unà cũ uorticibus conuoluens murmurat:
Huius

Τοῦ δ' αὖ ἀμφὶ πλευρῇσι καθήμενος εἴαρος ὥρῃ
Κύκνων εἰσαΐοις λιγυρὴν ὄπα, τοί τε καθ' ὕλην
Ενθα καὶ ἔνθα νέμονται ἀεξομένης ἐπὶ ποίης.
Πολλοὶ γὰρ λειμῶνες ἐν ἀσίδι τηλεθόωσιν,
Εξοχα δ' ἀμπεδίον μαιάνδριον. ἔνθα καΰστρου
Ησυχα καχλάζοντος ἐπιρρέει ἀγλαὸν ὕδωρ.
Οὐ μὴν οὐδὲ γυναῖκας ὀνόσσεαι. αἳ περὶ κεῖνο
Θεῖον ἕδος χρυσοῖο κατ' ἰξύος ἅμμα βαλοῦσαι
Ορχεῦνται, θηητὸν ἑλισσόμεναι περὶ κύκλον
Εὖτε διωνύσοιο χοροστασίας τελέουσι,
Σὺν καὶ παρθενικαὶ νεοθηλέες οἷά τε νεβροὶ
Σκαίρουσιν, τῇσιν περισμαραγεῦντες ἄηται
Ιμερτοὺς δονέουσιν ἐπὶ στήθεσι χιτῶνας.
Αλλὰ τὰ μὲν λυδοῖσι μετ' ἀνθρώποισι μέλονται.
Πρὸς δ' ἅλα κεκλιμένοι λύκιοι χθόνα ναιετάουσι
Ξάνθου ἐπὶ προχοῇσιν ἐϋρρείτου ποταμοῖο.
Ενθα βαθυκρήμνοιο φαείνεται οὔρεα ταύρου,
Παμφυλίων καὶ μέχρι, κράγον δέ ἑ φημίζουσι.
Κεῖθι δ' ἂρ ἀθρήσειας ὑπεὶρ ἅλιον πτολίεθρον
Ασπενδον, ποταμοῖο παρὰ ῥόον εὐρυμέδοντος.

Ενθα

Huius itẽ in marginibus conſidens ueris tẽpore
Olorũ exaudires canorã uocẽ, qui per nemora
Hinc inde paſcuntur germinante in herba:
Multa nanq; prata in Aſia uireſcunt,
Maximè uerò circa campum Mæandrium: ubi
Cayſtri
Tacitè ſtrepentis alluit liquida unda.
Nec ſanè uel mulieres faſtidis, quæ circa illum
Diuinum locum, auri per lumbũ uinculo cinctæ
Tripudiant, mirum rotatæ circum orbem,
Quando Baccho choreas ducunt:
Simul quoq; uirgines primi floris more hinnulo-
rum
Saliunt: quibus circumſtrepentes uenti
Gratioſas diſturbant in pectoribus ueſtes.
Atq; hæc quidem Lydos apud homines curãtur.
Cæterum mari acclinati Lycij terram colunt
Xanthi ad fluenta pulchriflui amnis:
Illic altijugi cernuntur culmina Tauri,
Pamphylios etiam uſq;: Cragum uerò illum uul
go nuncupant.
Illic item cõſpexeris ſuprà maritimum oppidum
Aſpendũ, fluminis iuxta curſum Eurymedontis:

M *Vbi*

Ενθα συοκτονίῃσι διωναίην ἱλάονται.
Αλλαι δ' ἑξείης παμφυλίδες εἰσὶ πόληες,
Κώρυκος, πέργη τε, καὶ ἠνεμόεσσα φάσηλις.
Τῶν δὲ πρὸς ἀντολίην μεσάτην χθόνα ναιετά-
ουσιν
Ιδριες ἐν πολέμοισι λυκάονες ἀγκυλότοξοι.
Τοῖς δ' ἔπι πισιδέων λιπαρὸν πέδον, ἧχι πό-
ληες
Τόρμησσός, λύρβη τε, καὶ ἣν ἐπολίσσατο λαὸς
Γεἰν ποτ' ἀμυκλαίων ὁμώνυμος ἐν χθονὶ σέλ-
γη.
Κεῖθεν δ' εἰς αὐγὰς σκολιὸν περιτέμνεται οἶμον
Πολλὸν ἔσω βεβαῦια περίδρομος ἀμφιτρίτη
Γείτων εὐξείνοιο πολυκλύστοιο θαλάσσης.
Κεῖνός τοι κιλίκων περισύρεται ἔθνεα κόλπος
Μακρὸς ἐπ' ἀντολίην, ἀσίης ᾗ στενὰ καλοῦσι.
Καὶ τῶν μὲν πολέων ποταμῶν ἐπιμίσγεται
ὕδωρ
Τηλόθεν ἐρχομένων, πυράμοιό τε καὶ πινάροιο,
Κύδνου τε σκολιοῖο μέσην διὰ ταρσὸν ἰόντος,
Ταρσὸν ἐϋκτιμένην, ὅθι δήποτε πήγασος
ἵππος (ἵππου
Ταρσὸν ἀφεὶς, χώρῳ λίπεν οὔνομα τῆμος ἀφ'
Ες διὸς

Vbi porcorum mactationibus Venerem placant.
Aliæ autem deinceps Pamphylicæ ſunt urbes,
Corycus, Pergáq;, & uentis apta Phaſelis.
At poſt has ad orientem internum ſolum habitant
Gnaui in bellis Lycaones, inflexis arcubus fiſi,
Hos uerò iuxta Piſidarum pingue ſolum: ubi urbes
Termeſſus, Lyrbáq;, & quam condidit populus
Antiquitus Amyclæorum, cognominis in terra Selga. (tramitem
Inde autem in orientem obliquum circumſecat
Multum introgreſſa circumflua Amphitrite,
Vicina Euxini multiſoni maris:
Ille ſanè Cilicum uoluitur circum gentes ſinus,
Longus ad orientẽ: Aſiæ uerò anguſtias uocant.
Atq; huic quidem multorum fluminum commiſcetur unda
È longinquo uenientum, Pyramíq;, & Pinari,
Cydníq; flexuoſi, mediam per Tarſum euntis,
Tarſum bene ſtructam, ubi quondam Pegaſus equus (equo
Vngula amiſſa loco reliquit nomen, quando ex

Ες Διὸς ἱέμενος πέσεν ἥρως Βελλεροφόντης.
Κεῖθι δὲ καὶ πεδίον τὸ Ἀλήϊον, οὗ κατὰ νῶτα
Ανθρώπων ἀπάνευθεν ἀλώμενος ἐνδιάασκεν.
Πολλαὶ δ' ἑξείης Κιλίκων γεγάασι πόληες,
Λυρνησσὸς, Μαλλός τε, καὶ Ἀγχιάλεια, Σόλοι τε,
Αἱ μὲν ἐν ἠπείρῳ, αἱ δ' αὖτ' ἄγχι θαλάσσης.
Τῆς δ' ὑπὲρ Κομμαγηνὸν ἔδος, Συρίης τε πόληες,
Θινὸς ὑπὲρ στρεπτῆς πολυμήκεος, ἀμφὶ γὰρ ὁλκὸς
Ες δύσιν ἔστραπται πολιῆς ἁλὸς ἄχρι κολώνης
Οὔρεος ἀγχιάλοιο βαθυκρήμνου Κασίοιο.
Ῥηϊδίως δ' ἂν τοι λοιπὸν πόρον αὐδήσαιμι,
Γαιάων Ἀσίης. ὁ δέ τοι λόγος ἐν φρεσὶν ἔστω.
Μὴ δ' ἀνέμοις φορέοιτο πονηθέντων χάρις ἔργων,
Εἰ γὰρ δὴ σάφα τήνδε καταφράσσαιο κέλευθον,
Η τάχα κεν ἄλλοισιν ἐπισταμένως ἀγορεύοις,
Καὶ ποταμοὺς, πολίων τε θέσιν, καὶ γαῖαν ἑκάστην.
Σχῆμα μὲν οὖν πισύρεσσιν ὑπὲρ πλευρῆσι τετύχθω
Πεπταμένης δολιχοῖσιν ἐπ' αὐτολίην πεδίοισιν.
Οἶδα μὲν ἐν πρώτοισιν ἐμεῦ εἰπόντος ἀκούσας

Γαῖαν

In cœlum abeunte corruit heros Bellerophon.
Illic etiamnum campus Aleius, cuius per plana
Procul ab hominibus oberrans uerſabatur.
Multæ item ſequenter Cilicum ſunt urbes,
Lyrneſus, Malusq́;, atq; Anchialia, Soliq́;:
Hæ quidem ſuper interraneo, illæ uerò ipſum
prope mare. (oppida,
Has uerò iuxta Commageenum ſolum: Syriæq́;
Littore in reflexo, longè protracto: circum nan
que ductus (montorium
In occaſum uerſus eſt cani maris, uſque ad pro-
Montis maritimi altijugi Caſij.
Facile autem tibi reliquum tractum cecinerim
Terrarum Aſiæ: hæc uerò tibi traditio in mente
hæreat:
Neq; uentis feratur elaboratorũ fructus operũ.
Etenim ſi euidẽter hoc perceperis compendium,
Profectò mox alijs gnauiter referres
Et fluuios, urbiumq́; ſitum, & regionem quamli-
bet.
Porrò figura quatuor ad latera diſpoſita ſit,
Vergens ſpacioſis ad orientem campis.
No[illegible] quidem in primis, me narrantem audiens,

Πᾶσαν ἕως ἰνδῶν ἀσίην ὄρος ἄνδιχα τέμνει.
Κεῖνό τοι ἐν πλευροῖσι Βορειότερον τελέοιτο.
Νεῖλος δ' ἑσπέριον πλευρὸν τέλει, αὐτὰρ ἐῶον
Ἰνδικὸς ὠκεανὸς, νότιον δ' ἁλὸς οἴδματ' ἐρυθρῆς.
Φράζεο δ' ὡς ὑπὸ πέζαν ἐπ' αὐγὰς ἵξομαι ἤδη,
Ἀρξάμενος συρίηθεν, ὅθεν λίπον. οὐ δ' ἂν ἔμοιγε
Μύθους ἄτε ψευδέντος ἀνὴρ ἐπιμωμήσαιτο.
Ἀλλ' ἤτοι συρίη μὲν ὑπεὶρ ἁλὸς ἐγγύθεν ἕρπει,
Ἐς νότον ἀντολίην τε πολύπτολιν αἶαν ἔχουσα.
Ἣν κοίλην ἐνέπουσιν ἐπώνυμον, οὕνεκ' ἄρ' αὐτὴν
Μέσσην καὶ χθαμαλὴν ὀρέων δύο πρῶνες ἔχουσιν
Ἑσπερίου κασίοιο καὶ ἠώου λιβάνοιο.
Καὶ τὴν μὲν πολλοί τε καὶ ὄλβιοι ἄνδρες ἔχουσιν,
Οὐχ ἅμα ναιετάοντες ὁμώνυμοι, ἀλλὰ διαμφίς.
Οἱ μὲν ἐπ' ἠπείρῳ, τοὶ πὲρ σύριοι καλέονται.
Οἱ δ' ἁλὸς ἐγγὺς ἐόντες, ἐπωνυμίην φοίνικες,
Τῶν δ' ἀνδρῶν γενεῆς, οἳ ἐρυθραῖοι γεγάασιν.
Οἳ πρῶτοι νήεσσιν ἐπειρήσαντο θαλάσσης,

Πρῶτοι

Totam uſq; ad Indos Aſiam montem in duas ſcindere:
Hic tibi inter latera ſeptentrionalius conficiat:
Nilus item occidentale latus eſto: at orientale
Indicus Oceanus: auſtrinum uerò maris freta rubri. (*peruenturus ſim iam*
Obſerua autem quomodo ſub oram in orientem
Orſus à Syria, unde liqui. Neq; mihi quidem,
Narratione uelut mentita, quis notam inuſſerit.
At uerò Syria quidem ſuper mari propè ſerpit
Ad auſtrũ orientemq;, multis urbibus inſignem terram habens:
Quam cauam perhibẽt cognominem: quandoquidem ipſam (*continent,*
Mediam ac depreſſam montium duo cacumina
Occidentalis Caſij, & orientalis Libani.
Atq; hãc quidẽ multiq; et diuites homines tenẽt,
Non unà habitantes cognomines, ſed diuiſim:
Hi quidẽ ſuper interraneo, qui ſanè Syrij uocantur, (*nices,*
Illi uerò mari uicinè exiſtẽtes, cognomẽto Phœ-
Eorum hominũ originis, qui Erythræi nati ſunt:
Qui primi nauibus periculum fecerunt maris:

Πρῶτοι δ' ἐμπορίης ἁλιδινέος ἐμνήσαντο,
Καὶ βαθὺν οὐρανίων ἄστρων πόρον ἐφράσαντο.
Οἵ τ' ἰόπην καὶ γάζαν ἐλαΐδα τ' ἐνναίουσι,
Καὶ τύρον ὠγυγίην, βηρυτοῦ τ' αἶαν ἐραννὴν,
Βύβλον τ' ἀγχίαλον, καὶ σιδῶν' ἀνθεμόεσσαν
Ναιομένην χαρίεντος ἐφ' ὕδασι βοστρηνοῖο,
Καὶ τρίπολιν λιπαρὴν, ὀρθωσίδα τε, μάραθόν τε,
Λαοδίκην, ἣ κεῖται ἐπ' ἠϊόνεσσι θαλάσσης.
Καὶ ποσειδήϊα ἔργα καὶ ἱερὰ τέμπεα δάφνης.
Ἠχί περ ἀντιόχοιο ἐπώνυμος ἀντιόχεια.
Αὐτὰρ ἐνὶ μέσσῃσιν ἀπαμείας πτολίεθρον.
Τῆς δὲ πρὸς ἀντολίην κατασύρεται ὑγρὸς ὀρόντης
Ἄσπετος, ἀντιόχοιο μέσην διὰ γαῖαν ὁρίζων.
Πᾶσα δέ τοι λιπαρή τε καὶ εὔβοτος ἔπλετο χώρη
Μῆλά τε φορβέμεναι, καὶ δένδρεσι καρπὸν ἀέξειν.
Τῆς δ' αὖ ἴδοις προτέρω νοτιώτερον οἶμον ὁδεύων
Ἀῤῥαβικοῦ κόλπου μυχάτου πόρον, ὅς τε μεσηγὺ
Εἵλεται συρίης τε καὶ ἀῤῥαβίης ἐρατεινῆς,

Τυτθὸν

Primi item negociationem mariuagam excogitarunt:
Atq; inſcrutabilem cœleſtium ſiderum curſum (*deprehenderunt:*
Qui Iopen, & Gazam, Elaidaq; incolunt,
Et Tyrum uetuſtam, Beretyq; terram amœnam,
Byblumq; maritimam, & Sidonem floridam,
Frequentatam grati ad fluenta Boſtreni,
Et Tripolin pinguem, Orthoſidá que, Maranthumq;,
Laodicen, quæ adiacet littoribus maris:
Et Neptunias ſtructuras, & diuinos lucos Daphnes:
Vbi quidem Antiochi cognominis Antiochia.
Cæterum in mediterraneis Apamææ oppidum.
Ab hac autem ad orientem delabitur liquidus Orontes,
Vaſtus, Antiochi mediam regionem perſecans.
Porrò tota pinguisq; & nutritia eſt regio
Ouesq; paſcendo, & arboribus fœtũ augendo.
Ab hac item conſpicatus fueris ultrà auſtraliorem uiam pergens
Arabici ſinus extremum meatum, qui inter
Voluitur Syriamq; & Arabiam amœnam,

Τυτθὸν ἐπ' ἀντολίην τετραμμένος ἄγχι σελαινῶν.
Κεῖθεν δ' ὀλβίστων ἀράβων περικέκλιται αἶα
Πολλὸν ἀνερχομένη, διοσσῇ ζωσθεῖσα θαλάσσῃ,
Περσίδι τ' ἀραβίῃ τ'. ἄνεμον δέ τοι ἔλαχ' ἑκάστη,
Αῤῥαβίη ζέφυρον, περσὶς δ' εὔροιο κελεύθους.
Πέζα δέ οἱ νοτίη τετραμμένη ἀντολίηνδε,
Κλύζετ' ἐρυθραίοις ὑπὸ κύμασιν ὠκεανοῖο.
Καὶ δή τοι θέσιας μυθήσομαι. ἔξοχα γάρ μιν
Πασάων πολύολβα καὶ ἀγλαὰ φῦλα νέμονται.
Αλλο δέ τοι καὶ θαῦμα μέγ' ἔξοχον ἔλαχ' ἐκείνη,
Αἰεὶ κηώεσσα θύοις, ὑπὸ λαρὸν ὄδωδεν
Η θύου, ἢ σμύρνης, ἢ εὐόδμου καλάμοιο,
Η καὶ θεσπεσίοιο πεπαινομένου λιβάνοιο,
Η κασίης. ἐτεὸν γὰρ ἀνὰ χθόνα μύσατο κείνην
Ζεὺς αὐτὸν διόνυσον ἐῤῥαφέος παρὰ μηροῦ.
Τῷ καὶ γειναμένῳ κηώδεα γείνατο πάντα.
Μῆλα δὲ καὶ τῆμος λασίοις ἐβαρύνετο μαλλοῖς
Εν νομῷ. αὐτόματοι δὲ κατέῤῥεον ὕδασι λίμναι.
Ορνίθων δ' ἑτέρωθεν ἀοικήτων ἀπὸ νήσων
Ηλθον φῦλα φέροντες ἀκηρασίων κιναμώμων.

Αὐτὰρ

Parum ad orientem conuerſus uſq; ad Selanos.
Inde uerò feliciſsimorũ Arabũ circũiacet terra,
Multum aſcendens, duplici circundata mari,
Perſicóq;, Arabicóq; : uentum autem uendicauit utrunq;,
Arabicum Zephyrum, Perſicum uerò Euri uias.
Ora autem illi auſtrina conuerſa ad orientem
Alluitur rubris fluctibus Oceani.
Atq; huius tibi ſitus fabor: ſupra enim ipſam
Omnes ualde opulenti & clari populi colunt.
Quinetiam aliud mirum ingens præ cæteris ſortita eſt illa,
Semper odora thuriferis arboribus, ſuauiter ſub (olet
Vel thyo, uel myrrha, uel fragrante canna,
Vel etiam diuino nigricante thure,
Vel caſia: reuera enim in terra diſſoluit illà
Iuppiter ipſum Dionyſiũ bene ſutum à femore:
Cui & genito odora facta ſunt omnia.
Quinetiã oues tũc dẽſis onerabãtur uelleribus
In pabulo: larga uerò effluebãt liquorib. ſtagna:
Volucres item alicunde deſertis ab inſulis
Venerunt folia ferentes immarceſsibilium cinamomorum.

At hic

Αὐτὰρ ὁ μὲν νεβρίδας ἐπωμαδίας ἐτάνυσσε.
Κισσῷ δ' ἱμερόεντι καλὰς ἔστεψεν ἐθείρας.
Ἀκροχάλιξ δ' οἴνου πλειῆς ἀνεσείσατο θύρσους
Μειδιόων, καὶ πολλὸν ἐπ' ἀνδράσιν ὄλβον ἔχευε.
Τούνεκεν εἰσέτι νῦν λιβάνῳ κομόωσιν ἄρουραι,
Οὔρεα δὲ χρυσῷ, ποταμοὶ δ' ἑτέρωθι θυηλαῖς.
Αὐτοὶ δ' ἐνναέται μάλα πίονα δῆμον ἔχουσι
Χρυσείοις πέπλοισιν ἀγαλλόμενοι μαλακοῖσι.
Ἀλλ' ἤτοι πρῶτον μὲν ὑπὲρ κλιτὺν λιβάνοιο
Ἀφνειοὶ ναίουσιν ἐπώνυμοι ναβαταῖοι.
Ἀγχι δὲ χαυλάσιοί τε καὶ ἀγρέες. οἷς ἔπι γαῖα
Χατραμὶς ἐνναίει κατεναντία περσίδος αἴης.
Αὐτὰρ ἐρυθραίης πλευρὸν ναίουσι θαλάσσης
Μιναῖοί τε σάβαι τε καὶ ἀγχίγειοι κλεταβηνοί.
Τόσσα μὲν ἀρράβιοι περιώσια φῦλα νέμονται.
Ἄλλα δέ τοι καὶ πλεῖστα. πέλει πέδον γάρ ὅτι μεγίστη.
Τῆς δὲ πρὸς ἀντιπέραιαν ὑπαὶ ῥιπὴν ζεφύροιο
Λυπρὸν ὀρεσκώων προφαίνεται οὖδας ἐρεμβῶν,

Οἱ

At hic quidem hinnulorum pelles ſuperhume-
rales expandit:
Hedera uerò iucunda pulchras ornauit comas:
Summè potus aũt uino tortos diſquaſſauit ramos
Blandè ridens, & multam inter homines felici-
tatem fudit:
Quare ad hunc uſq; diẽ thure referta ſunt arua,
Montes uerò auro, flumina item alibi ſacris odo-
ramentis.
Ipſi aũt incolæ ualde opulentum populũ habẽt,
Aureis ueſtibus deliciantes mollibus.
Porrò primum quidem ſuper decliuitatẽ Libani
Diuites habitant cognomento Nabatæi.
Propè item Chaulaſijq;, & Agrenſes: quos iu-
xta tellus (ræ.
Chatramitica incolitur, è regione Perſicæ ter-
At rubri latus habitant maris
Minnæiq;, Sabæq;, & uicini Cletabeni.
Tot quidem Arabiam præcipuæ gentes tenent.
Aliæ inſuper plurimæ: circumquaq; enim eſt ma
xima. (gam Zephyri
Ab hac autem ad tranſmarinam terram ſub pla-
Sterile monticolarũ comparet ſolũ Eremborum,

Qui

Οἳ βίον ἐν πέτρῃσι κατωρυχέεσιν ἔθεντο
Γυμνοί, καὶ κτεάνων ἀποδευέες. ἀμφὶ δ' ἄρα
σφιν
Εἴδει θαλπομένοισι μελαίνεται αὐαλέος χρώς.
Αὔτως δ' οἷά τε θῆρες ἀλώμενοι ἄλγε' ἔχουσιν.
Οὐχ ὡς ἁβροβίων Ἀράβων γένος. οὐ γὰρ ἐν ὄλ-
βῳ (μων.
Ἴσην μοῖραν ἅπασιν ἐπ' ἀνδράσι θήκατο δαί
Αὐτὰρ ὑπὲρ Λιβάνοιο πρὸς αὐγὰς ἠελίοιο
Τῆς ἑτέρης Συρίης δολιχὴ μηκύνεται αἶα,
Ἑλκομένη καὶ μέχρι ἁλικλύστοιο Σινώπης.
Τῆς δ' ἤτοι μέσσης μὲν ἐπ' ἠπείροιο βαθείης
Καππαδόκαι ναίουσι, Λαήμονες ἱπποσυνάων.
Ἀσσύριοι δ' ἁλὸς ἄγχι παρὰ στόμα Θερμώδοντος.
Τῆς δὲ πρὸς ἀντολίην ὀρέων ἄπο παιπαλοέν-
των
Φαίνετ' ἀπειρεσίου ποταμοῦ ῥόος Εὐφρήταο,
Ὅς δή τοι πρῶτον μὲν ἀπ' οὔρεος Ἀρμενίοιο
Μακρὸς ἰθὺ νότονδ' εἶσι, πάλιν δ' ἀγκῶνας ἑλί-
ξας
Ἀντολίην ἠελίοιο, μέσην Βαβυλῶνα παρήσας
Περσίδος ἐς ἁλὸς οἶδμα θολὴν ἀπερεύγεται
ἄχνην,

Ὑστατίης

Qui uitam in ſaxis ſuffoßis agunt
Nudi, & poſſeßionibus carētes: quinetiam ipſis
Forma aduſtis circumfuſcatur aridum corpus:
Paßim uerò more ferarum oberrantes, afflictiones habent.
Non ſicut delicatorū Arabum genus. non enim in felicitate (deus.
Aequam ſortē uniuerſos per homines diſpoſuit
At ſuper Libanum ad orientem ſolis
Alterius Syriæ ingens elongatur terra,
Protracta etiam uſq; ad maritimam Sinopen.
At huius mediæ quidem ſuper continente uaſta
Cappadoces habitant, periti diſciplinæ alendorum equorum:
Aſſyrij uerò mari uicinè, prope oſtium Thermodontis.
Ab hac autem ad orientem montibus ab excelſis
Cernitur immenſi fluuij decurſus Euphratæ:
Qui ſanè primum quidem è monte Armenio
Longus ad auſtrum cedit: mox uerò anfractus reflectens
Contra ſolem, mediam Babylonē præterlapſus,
Perſici in maris fretum rapidā euomit ſpumam,

Extremis

Υστατίης προχοῆσι τορηδὸν ἐγγὺς ὁδεύων.
Τὸν δὲ μετ' εἰς αὐγὰς ποταμὸς ὤκιστος ἁπάντων
Τίγρις ἐϋρρείτης φορέεται ῥόον ἶσον ἐλαύνων,
Τόσσον ἀνδυθεν ἰὼν, ὅσον ἕβδομον ἦμαρ ὁδεύσας
Ἴφθιμος καὶ κραιπνὸς ἀνὴρ ἀνύσειεν ὁδίτης.
Ἐστι δέ τις κατὰ μέσσα περίτροχος ὕδασι λίμνη
Οὔνομα Θωνῖτις, ἧς ἕλκεται ἐν μυχὰ τίγρις,
Δινῶν πολλὸν ἔνερθε, πάλιν δ' ἐξαῦτις ἀναχθὼν
Ὀξύτερον προΐησι κάτω ῥόον. οὐκ ἂν ἐκείνου
Ἐν πᾶσιν ποταμοῖσι θοώτερον ἄλλον ἴδοιο.
Ὅσση δ' Εὐφρήτου καὶ τίγριος ἔνδοθι γαῖα,
Τήνδε περικτίονες μέσσην ποταμῶν ἐνέπουσιν.
Οὐ μέν τοι κείνης γε νομὰς ὠνόσσατο βούτης,
Οὐδ' ὅς τις σύριγγι κορώνυχα πᾶσα γεραίρων
Μήλοις ἀγραύλοισιν ἐφέσπεται. οὐδὲ μὲν ὕλην
Παντοίην φυτοεργὸς ἀνὴρ ἀθερίζεται καρπῶν.
Τοίη γὰρ κείνης αἴας ἄροσις πέλει, ἐν μὲν ἀέξειν
